On the Composition of Drugs by Places: Book 6 by Galen of Pergamon

12.894 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Ζ.*

Ἀληθὴς μὲν ἀμέλει καὶ ὁ λεγόμενος ὑπὸ τῶν πλείστων τεχνιτῶν ἐστι λόγος, ὡς οὐκ ἴσον οὐδ' ὅμοιον εἴη παρὰ ζώσης φωνῆς μαθεῖν ἢ ἐκ συγγράμματος ἀναλέξασθαι. τοῖς γε μὴν φιλοπόνοις καὶ φύσει συνετοῖς οὐχ ἡ τυχοῦσα πολλάκις ὠφέλεια γίνεται βιβλίοις ἐντυγχάνουσι σαφῶς γεγραμμένοις. ἐπιστάμενος οὖν κἀγὼ πρώτοις μὲν τοῖς ἑταίροις, ὅσοι καὶ
12.895 διὰ τῶν ἔργων ἔγνωσαν ὁπόσην ἔχει δύναμιν ἡ λογικὴ μέθοδος εἰς εὐπορίαν φαρμάκων, οὐ σμικρὸν ὄφελος ἐκ τῆσδε τῆς πραγματείας ἔσεσθαι, βουλόμενος δὲ καὶ τοῖς ἄλλοις βοηθεῖν, ὅσοι κάμνειν ἐπὶ τοῖς καλλίστοις οὐκ ὀκνοῦσιν, τὴν τοῦ λόγου τοῦδε διέξοδον ἐνεστησάμην, οὐκ ἐσπευμένην οὐδὲ σύντομον ἐν αὐτῇ τὴν διδασκαλίαν ποιούμενος, ἀλλ' ἐκτεταμένην τε καὶ μακροτέραν, ὁποίαν διὰ τῶν ἄνευ γραφῆς λόγων ἑκάστοτε πρὸς τοὺς ἑταίρους εἴωθα ποιεῖσθαι. διαφέρει γὰρ ἡ λογικὴ τῶν βοηθημάτων εὕρεσις τῆς ἐμπειρικῆς, ὡς καὶ πρόσθεν ἤδη μοι κατὰ τὸν τῶν νευροτρώτων λόγον εἴρηται, τῇ καθόλου γνώσει τῆς δυνάμεως τῶν φαρμάκων, οἷς χρῆσθαι προσήκει καθ' ἕκαστον τῶν παθῶν. ἐπὶ γοῦν τῶν στοματικῶν ὀνομαζομένων φαρμάκων, ὁποῖόν ἐστι τὸ διὰ τῶν μόρων ἅπασι γινωσκόμενον, ὁ πρῶτος σκοπὸς τῆς ἰάσεως ἐστὶ κοινὸς ἁπάντων τῶν φλεγμαινόντων μορίων, εἶθ' ἑξῆς ὁ δεύτερος, ἴδιος ἐξ αὐτοῦ θεραπευομένου. τίς οὖν ἡ τῶν φλεγμαινόντων ἐστὶ διάθεσις
12.896 ἐγνῶσθαι χρὴ πρότερον, εἰ μέλλοιμεν ἐξ αὐτῆς ἔνδειξίν τινα τῶν βοηθημάτων λήψεσθαι. προμεμαθήκαμεν δὲ καὶ προαποδεδειγμένον ἔχομεν, ἐξ ἐπιρροῆς αἵματος θερμοῦ γίνεσθαι τὰς φλεγμονάς. ἐμάθομεν δὲ καὶ ὡς τὸ ἐπιρρέον τοῦτο κατ' ἀρχὰς μὲν ἀναστεῖλαί τε καὶ ἀποκρούσασθαι προσήκει, πλὴν εἰ παλινδρομήσει ἐπί τι κύριον μόριον, ἕτερόν τι μεῖζον ἐργάζεσθαι πολὺ κακόν. ἀλλ' οὐ νῦν ἐστι χρεία τῶν τοιούτων διορισμῶν, ὡς μεμνημένων γὰρ ἡμῶν ὅπως χρὴ τὸ σύμπαν σῶμα προπαρασκευάζειν εἰς τὴν κατὰ τὸ μόριον ὁτιοῦν συνισταμένων παθῶν ἴασιν, ἐπὶ τὸ προκείμενον ἀφίξομαι. καὶ γὰρ φλεβοτομίᾳ χρώμεθα

καὶ καθάρσει καὶ κλυστῆρσι καὶ ἀσιτίαις, ὅταν ἡμῖν τὸ πᾶν σῶμα φαίνηται πληθωρικὸν ἢ κακόχυμον ὑπάρχον. εἰ δὲ μηδέτερον εἴη τούτων, ἐπὶ τὴν διὰ τῶν τοπικῶν ἴασιν εὐθέως ἀφικνούμεθα. πῶς οὖν εὑρίσκειν αὐτὰ χρὴ τὸν μέλλοντα καλῶς ἰᾶσθαι τὰς ἐν τῷ στόματι φλεγμονάς; ὁ γάρτοι λόγος οὕτως εὐθέως σε διδάσκει, καὶ πῶς δεῖ τοῖς εὑρημένοις χρήσασθαι προσηκόντως ἑωρακότας δὲ τοὺς ἑταίρους πολλάκις ἀναμιμνήσκω τοῖς τῶν καλεσάντων ἰατρῶν εἰς συμβουλήν με
12.897 φαρμάκοις θεραπεύσαντα τὰς διαθέσεις, ὧν ἕνεκεν ἐκλήθην. ἀδύνατον γάρ ἐστι καλῶς χρῆσθαι φαρμάκῳ μὴ γινώσκοντα τὴν δύναμιν αὐτοῦ, καθ' ἣν ἐνεργοῦν ὠφελεῖ. κατὰ τὸν οὖν αὐτὸν τρόπον ἐπὶ τῶν ἐν τῷ στόματι συνισταμένων φλεγμονῶν ὁ κοινὸς σκοπὸς ἁπασῶν αὐτῶν, ἐὰν προσλάβῃ τὴν ἐκ τῆς τοῦ μορίου φύσεως ἔνδειξιν, εὑρήσει πρῶτον μὲν τὸ γένος τῶν φαρμάκων οἷς χρῆσθαι προσήκει, εἶτα ἑξῆς τὰς κατὰ μέρος ἐν αὐτοῖς διαφορὰς, ἐάν γε προγινώσκῃ τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, ὡς ἤδη πολλάκις ἐδείχθη. τὸ μὲν οὖν γένος τῶν ἀποκρουστικῶν φαρμάκων ἐπὶ τῶν ἀρχομένων φλεγμονῶν ἐν τῇ τῶν ψυχόντων ἐστὶν ὕλῃ. τούτων δὲ αὐτῶν διττῶν ὄντων, ὡς ἐμάθομεν, ὅσα στύφειν πέφυκεν, ἐναργεστέραν ἔχει τὴν δύναμιν εἰς τὸ θᾶττον ἀποκρούσασθαι τὸ ἐπιρρέον, ὑπάρχει δ' εὐθέως αὐτοῖς καὶ τὸ συνάγειν καὶ πυκνοῦν τὴν ἐπιφάνειαν τοῦ σώματος, ᾧ προσάγεται. κοινὸς μὲν οὖν ὁ σκοπὸς οὗτός ἐστι τῆς τῶν ἀρχομένων φλεγμονῶν κωλύσεως ἀπὸ τοῦ πάθους
12.898 ἐνδεικτικῶς εὑρημένος. ὁ δὲ ἀπὸ τῆς τοῦ θεραπευομένου μορίου φύσεως αὐτῷ προσέρχεται, γινωσκόντων ἡμῶν ἀραιοτέραν εἶναι καὶ μαλακωτέραν τὴν ἐπιφάνειαν τοῦ κατὰ τὸ στόμα χιτῶνος, οὐ σμικρῷ τῆς τοῦ περιέχοντος ὅλον τὸ σῶμα δέρματος. ὑπάρχει δέ τι καὶ ἄλλο τοῖς κατὰ τὸ στόμα μορίοις διττὸν, οὐχ ὑπάρχον τῷ δέρματι. τῆς τε γὰρ ἀηδίας τῶν προσαγομένων αἰσθάνεται φαρμάκων, ὑποκειμένους τε δύο πόρους ἔχει, δι' ὧν εἴς τε τὴν γαστέρα καὶ τὸν πνεύμονα καταρρυῆναί τι δύναται τῶν στοματικῶν φαρμάκων, ὁποῖόν ἐστι καὶ τὸ διὰ χαλκάνθου. καί τις ἰατρὸς οὔτε ἀσύνετος οὔτε ἄπειρος φαρμάκων δυνάμεως μίξας τοῦτο τῷ στοματικῷ πολὺ μὲν ἰσχυρότερον εἰργάσατο, βλάπτων δὲ ἱκανῶς, ὁπότε παρερρύη τι πρὸς τὸν στόμαχον ἢ τὸν λάρυγγα καὶ ταῦτα μὲν εὐθέως αὐτὰ καὶ δι' αὐτῶν δὲ τὴν γαστέρα τε καὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν

πνεύμονα. συνυπάρχει δὲ τῷ φαρμάκῳ καὶ ἡ κατὰ τὴν γεῦσιν ἀηδία, κατά τε τὴν χρῆσιν αὐτὴν ἀνιῶσα καὶ παραμένουσα δι᾽ ὅλης ἡμέρας, ὡς κἀν
12.899 ταῖς ἐδωδαῖς εἶναι λυπηράν. τοῖς οὖν οὕτως ἰσχυροῖς τε ἅμα καί τινα δηλητηρίαν ἔχουσι δύναμιν οὐ προσήκει χρῆσθαι θεραπεύοντι τὰς ἐν τῷ στόματι διαθέσεις ἄνευ μεγάλης ἀνάγκης. οὐ γὰρ περὶ φλεγμονῶν μόνον εἰρῆσθαι χρὴ νομίζειν τὸν λόγον, ὅτι μηδ᾽ ἐκ τῆς τούτων ἐνδείξεως εὕρομεν αὐτὸν, ἀλλὰ κοινὸν εἶναι πάντων τῶν κατὰ τὸ στόμα τὴν ἔνδειξιν ἐκ τῆς φύσεως τοῦ μορίου ἐσχηκότα. ταῦτ᾽ οὖν ἐννοήσας ὁ τὸ διὰ χυλοῦ τῶν συκαμίνων φάρμακον συνθεὶς, πρῶτον μὲν ἕψησεν αὐτὸ μετὰ μέλιτος, ὅπως ἀποκείμενον ἕτοιμον ἔχοι καθ᾽ ὅλον τὸν ἐνιαυτὸν, οὐ μόνον ἐκείνῳ τῷ καιρῷ, καθ᾽ ὃν ἐκθλίψαντα τὴν ὀπώραν ἔστι τῷ χυλῷ χρῆσθαι. βελτίων γὰρ μόνος ἐπὶ τῶν ἀρχομένων φλεγμονῶν, καί με πολλάκις οὕτως ἐπὶ τῶν τοιούτων φλεγμονῶν χρώμενον ἐθεάσασθε. διαρκέστερος δὲ ἰδίως ὁ μετὰ τοῦ μέλιτος σκευαζόμενος. ὠνόμασα δὲ αὐτὸν διαρκέστερον οὐ μόνον ὅτι ταχέως διαφθείρεται χωρὶς τῆς μετὰ τοῦ μέλιτος ἑψήσεως ἀποτεθεὶς, ὡς μηκέτι ἔχειν ἡμᾶς αὐτῷ χρῆσθαι
12.900 κατὰ τὸν ἐφεξῆς χρόνον, ἀλλὰ καὶ ὅτι χρησιμώτερός ἐστιν εἰς τοὺς ἑπομένους καιροὺς τῆς φλεγμονῆς ἄχρι τῆς παντελοῦς ἰάσεως. ὥσπερ γὰρ ἐν ἀρχῇ τῶν ἀπωθουμένων τὸ ἐπιρρέον ἐστὶ χρεία φαρμάκων, οὕτω μετὰ τὴν ἀρχὴν ἄχρι τοῦ τέλους μικτοῦ τινος ἐξ ἀμφοῖν, τοῦ τε ἀποκρουομένου καὶ τοῦ διαφοροῦντος. ἐπικρατεῖν δὲ χρὴ κατὰ μὲν τοὺς πρώτους χρόνους τὸ στῦφον, ἐπὶ δὲ τῆς τελευτῆς τὸ διαφοροῦν, ἐν δὲ τῷ μεταξὺ τὴν τούτων ἰσομοιρίαν ὑπάρχειν ἀμφοῖν. ὅταν δὲ οἷον σκιρρῶδές τι λείπηται τῆς φλεγμονῆς, οὐδ᾽ ὅλως χρὴ μεμίχθαι τῷ διαφοροῦντι τὸ στῦφον, ἐὰν κεκενωμένον εἴη τὸ σύμπαν σῶμα, οὐ μὴν οὐδὲ ἐν ἀρχῇ τῷ στύφοντι τὸ διαφοροῦν ἄμεινόν ἐστι μιγνύειν. ὁ δὲ τὸ διὰ τοῦ χυλοῦ τῶν συκαμίνων φάρμακον συνθεὶς ὀλίγον γε φαίνεται κρόκου τε καὶ σμύρνης αὐτῷ συμμίξας, κοινὴν μὲν ἐχόντων δύναμιν τὴν πεπτικὴν τῶν φλεγμονῶν, ἰδίαν δὲ ἑκατέρου· τοῦ μὲν κρόκου τὸ στῦφον, τῆς σμύρνης δὲ τὸ θερμαίνειν εἰς τοσοῦτον, ὡς διαφορεῖν ἱκανῶς. ἐξικνεῖται γάρ τοι μέχρι τοῦ βάθους τῶν σωμάτων ἡ σμύρνα μᾶλλον τοῦ κρόκου,
12.901 λεπτομερῆ τὴν οὐσίαν ἔχουσα, καὶ ἐκ τούτου διττὴν ὠφέλειαν παρέχεται, συνεπαγομένη μέν πως ἅμα αὐτῇ καὶ τὰς τῶν μεμιγμένων

δυνάμεις, ἐκθεραπεύουσα δὲ μέχρι τοῦ βάθους τὰ φλεγμαίνοντα. καὶ μέντοι καὶ συμπράττουσιν ἀλλήλοις ὅ τε κρόκος καὶ ἡ σμύρνη πρὸς τὴν εἰς τὸ βάθος δίοδον, ὁ μὲν οἷον ἐπωθῶν τὴν σμύρναν, ἡ δ', ὡς ἂν εἴποι τις, ποδηγοῦσα τὸν κρόκον. ὥσπερ γὰρ ἧττον ἔχει λεπτομερῆ τὴν οὐσίαν ὁ κρόκος τῆς σμύρνης διὰ τὴν στύψιν, οὕτως ἡ σμύρνα λεπτομερεστέραν ἔχουσα, θᾶττον μὲν εἰς τὸ βάθος διαπέμπει τὴν ἑαυτῆς δύναμιν, θᾶττον δὲ παλινδρομεῖ πρὸς τὸ δέρμα, συναναφέρουσα τὰ λεπτυνθέντα τῶν ἐν τῷ βάθει. τοῦτο οὖν αὐτῆς τὸ τάχος τῆς ἐπανόδου κωλύουσιν αἱ τῶν στυφόντων μίξεις, οὐ γὰρ δὴ μόνος ὁ κρόκος. ἔστι γοῦν ἐν τῷ διὰ μόρων ὀνομαζομένῳ φαρμάκῳ στοματικῷ τῶν τε συκαμίνων ὁ χυλὸς, οὐκ ὀλίγην στύφουσαν ἔχων ποιότητά τε καὶ δύναμιν, ἔτερά τε τῶν ἐπιμιγνυμένων, ὅταν ἰσχυρόν τις τὸ φάρμακον γενέσθαι βουληθῇ· ταῦτ'
12.902 οὖν τὰ στύφοντα ποδηγεῖται μὲν ὑπὸ τῆς σμύρνης, συνεπωθεῖ δ' ἐκείνην αὐτὰ καὶ οὕτως ἀλλήλοις συμπράττει πρὸς τὸ μέχρι πλείονος ἐξικνεῖσθαι τὴν δύναμιν αὐτῶν. ἐθεάσασθε δέ με πολλάκις τῷ διὰ μόρων φαρμάκῳ κατ' ἀρχὰς μὲν μιγνύντα ῥοῦ χυλὸν ἢ ὄμφακος, ὃ καλοῦσιν ἰδίως ὀμφάκιον. εἰ δὲ μὴ παρείη ταῦτα, ῥόδων ἄνθος ἢ αὐτὰ τὰ ῥόδα ξηρὰ βαλαύστιόν τε καὶ κυτίνους καὶ σίδια ξηρὰ καὶ κηκίδα τὴν ὀμφακῖτιν ὀνομαζομένην, ἔτι τε τὸν τῆς πίτυος φλοιὸν καὶ τὸν τοῦ λιβανωτοῦ καὶ τὸν τῆς ὑποκυστίδος τε καὶ σχίνου χυλὸν καὶ συνελόντι φάναι τὰ στύφοντα πάντα χωρὶς τὴν φθαρτικὴν δύναμιν ἐχόντων, ἣν ὀνομάζουσι δηλητήριον, εἶδός τι τῶν θανασίμων οὖσαν. ἐμάθετε γὰρ ὡς οὐ πᾶν τὸ θανάσιμον εὐθύς ἐστι καὶ δηλητήριον. ὥσπερ δὲ ἐν ἀρχῇ τῆς φλεγμονῆς ἡ τῶν τοιούτων μίξις ἰσχυρότερον ἐργάζεται τὸ στοματικὸν φάρμακον, οὕτως ὅταν στῇ τὸ ἐπιρρέον, οὐδενὸς τῶν τοιούτων ἐστὶ χρεία μόνον. ἀρκεῖ γὰρ τηνικαῦτα τὸ τοῦ κρόκου τε καὶ τῆς σμύρνης προσειληφὸς εἰς
12.903 τὸ πέψαι τὴν φλεγμονὴν, ὡς ὁπόταν γε πεφθῇ, μίγνυμεν ἤδη τι καὶ τῶν διαφορούντων, ὡς ἐθεάσασθε πολλάκις ἐμβάλλοντά με τὸν ἀφρὸν τοῦ νίτρου καί ποτε καὶ αὐτὸ τὸ νίτρον, ὅσον ἐστὶ λεπτομερὲς, ὀνομαζόμενον ὑπὸ πάντων ἤδη βερενίκιον, ἔτι τε πρὸς τοῦτο καὶ θεῖον ὃ καλοῦσιν ἄπυρον, ἐνίοτε δὲ σίρον. ἐναφεψημένου αὐτῷ ποτὲ μὲν ὀριγάνου, ποτὲ δὲ ὑσσώπου, ποτὲ δὲ ἄλλου τινὸς τῶν ὁμοίων, οἷον γλήχωνος, θύμβρας, θύμου, καλαμίνθης ἡμέρου τε καὶ ἀγρίας. οὕτω μὲν ἄν τις αὐτῷ τῷ διὰ

μόρων φαρμάκῳ καλῶς χρῷτο, τῷ ποσῷ τῶν καθόλου σκοπῶν, ἐξαλλάττων αὐτοῦ τὴν χρῆσιν. ἄχρι μὲν ἐπιρρεῖ τι, τοῦτο ἀποκρούεσθαι προσήκει. στάντος δὲ αὐτοῦ τὰ πέπτοντα προσφέρειν, εἶτα ἑξῆς τὰ διαφοροῦντα. δῆλον γὰρ ὅτι ταύτῃ χρώμενος τῇ μεθόδῳ καὶ ἐπιγινώσκων τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν οὐδέ ποτε ἀπορήσει βοηθημάτων, ἐάν τε κυνηγετῇ κατ᾽ ὄρος, ἐάν τε καταπράττηταί τι τῶν κατ᾽ ἀγρὸν ἔργων, ἐάν τε ἐν ὁδοιπορίᾳ ποτὲ τῶν παρεσκευασμένων ἀπορῇ φαρμάκων, ὡς Ἐρασίστρατος ἔγραψεν, ἐθεράπευσεν ἑαυτὸν ἐπὶ
12.904 τὸν τοῦ βάτου χυλὸν ἐλθὼν οὐ παρόντος ἐν ἐκείνῳ τῷ χωρίῳ τοῦ Ἀνδρωνείου. γινώσκων γὰρ ὅτι καὶ αὐτὸ τὸ Ἀνδρώνειον ἐν τῷ στύφειν ἔχει τὸ κῦρος τῆς θεραπείας, ἐζήτησεν ὕλην στύφουσαν, οὐχ ὡς οἱ περὶ Σεραπίωνα καὶ Μηνόδοτόν φασιν, ἐμπειρικῇ χρησάμενος ὁμοίου μεταβάσει. κατὰ ταύτην γὰρ ὑμῖν ἔνδειξα πλείστην μὲν ἀνομοιότητα τοῦ χυλοῦ τοῦ βάτου πρὸς τὸν Ἀνδρώνειον τροχίσκον ὑπάρχουσαν, ὀλιγίστην δὲ ὁμοιότητα, καθ᾽ ἓν μόνον τὸ στύφειν. ἀλλ᾽ ὅ γε τὴν γενικὴν δύναμιν, ἣν καθόλου καλοῦσιν, ἐπιστάμενος, ἐν ᾧπερ ἂν ὕλῃ ταύτην εὑρίσκῃ, θαρρῶν ἐκείνῃ χρῆται. πάμπολυ δὲ πλῆθος ὑλῶν τοιούτων, αἷς ἁπάσαις ἔνεστι χρήσασθαι μόνας φεύγοντα τὰς ἄγαν ἀηδῆ τινα δύναμιν ἐχούσας φθαρτικήν. οὕτως οὖν κἀγὼ τὸ διὰ τοῦ χυλοῦ τῶν χλωρῶν καρύων ἐσκεύασα φάρμακον. οὔτε ἰδών τινα τῶν διδασκάλων οὔτε γεγραμμένον εὑρὼν, οὗ τῆς δυνάμεως πεπείραμαι πολλῷ τῆς τῶν ἄλλων στοματικῶν δυνάμεως ὑπερεχούσης. ἄλλα δὲ λέγω τό τε διὰ τῶν μόρων καὶ τὸ διὰ
12.905 τῶν βατίνων, οὕτω γὰρ ὀνομάσουσι τὸν καρπὸν τοῦ βάτου, καὶ τρίτου τοῦ διὰ γλεύκους καὶ τετάρτου τοῦ διὰ τῶν ῥοιῶν χυλοῦ καὶ πέμπτου διὰ τῶν στυφόντων μήλων, ὧν κάλλιστ᾽ ἐστὶ τὰ κυδώνια καὶ τὰ στρουθία καλούμενα, καὶ μετὰ ταῦτα πρὸς τὴν προκειμένην χρείαν τὰ κεστιανὰ παρὰ Ῥωμαίοις ὀνομαζόμενα. σύνθετα δὲ ἐκ πολλῶν τοιούτων ἐστὶ τὰ διὰ τῶν ὀπωρῶν σκευαζόμενα.

Περὶ τοῦ διὰ καρύων στοματικοῦ. Ἐγὼ δ᾽ ὅτε πρῶτον ἐκ τῆς Ἀλεξανδρείας ἐπανῆλθον εἰς τὴν πατρίδα πορευθεὶς εἰς ἀγρὸν, εὗρόν τινα τῶν κηπουρῶν ὑπό τε σταφυλῆς καὶ παρισθμίων καὶ ἀντιάδων πνιγόμενον. ἐχρῆτο δὲ διακλύσματι μελικράτῳ, ῥόδων ἐνεψημένων ἐν αὐτῷ. θεασάμενος οὖν ἀκμάζοντα τὸν καρπὸν τῶν καρύων, ἐκέλευσα

περιελόντας αὐτῶν τὸ ἔξωθεν λέπος, ᾧ καὶ τοὺς βαφέας ἐωράκειν χρωμένους, αὐτίκα κόψαντας ἐν ὅλμῳ δι᾽ ὀθονίου τὸν χυλὸν διηθῆσαι, μὴ γινώσκων ὅπως ἔχοι πάχους ἢ λεπτότητος. εὑρεθέντος δὲ ὑδατώδους αὐτοῦ καὶ λεπτοῦ κατὰ τὴν σύστασιν, ἀνακογχυλίζεσθαι προστάξας αὐτῷ
12.906 τὸν κηπουρὸν, ἐπειδὴ πάνυ λεπτὸς ἐφαίνετο, προαφεψήσας ἔμιξα μέλι σύμμετρον, ὡς ἐπὶ τοῦ διὰ μόρων ἠπιστάμην μιγνύμενον, ἑψήσας τε μέχρι συστάσεως μελιτώδους, κατέλιπον χρῆσθαι τῷ κηπουρῷ. θεασάμενος δὲ ταχίστην τὴν ὠφέλειαν ἀκολουθοῦσαν αὐτῷ, βέλτιον ἡγησάμην ἐπὶ πολλῶν πειραθῆναι, κἀκ τούτου βάσανον ἱκανὴν λαβὼν τῆς δυνάμεως τοῦ φαρμάκου, διὰ παντὸς χρῶμαι, καθάπερ ἴστε. θαυμάζειν οὖν ἐπῆλθέ μοι τῶν ἔμπροσθεν ἰατρῶν, οὐδενὸς αὐτῶν ἐπινοήσαντος, εὐπορίστῳ τε καὶ γενναίῳ τῷ χυλῷ τούτῳ χρῆσθαι, καὶ ταῦτα μέντοι θεωμένων, ὅπως αἱ χεῖρες βάπτονται τῶν λεπιζόντων τὰ κάρυα τὰ χλωρά. φαίνεται γὰρ ἐκ τούτων ὁποῖός τις αὐτῶν ὁ χυλὸς καὶ δυσέκλυτος ὑπάρχει ἡ στύψις, ὥστε μηδὲ διὰ τῶν γενναιοτάτων ἐκπλύνεσθαι ῥυμμάτων. ἔτι δὲ μᾶλλον ἐθαύμασα τῶν ἰατρῶν εἰ καὶ τοὺς βαφέας ὁρῶντες, ὡς τοιούτοις χρωμένους τοῖς λέμμασι τῶν καρύων, οὐκ ἐνόησαν ἰσχυρὰν εἶναι τὴν δύναμιν αὐτῶν. εἰ μὴ γὰρ ἐγκατέβαινε τῷ βάθει τῶν χειρῶν ἢ δι᾽ ὅλης διεδύετο τῆς οὐσίας τῶν ἐρίων, οὐκ ἂν ἦν
12.907 δυσέκπλυτος. ἐγκαταβαίνουσα δὲ δηλοῖ λεπτομερῆ τὴν οὐσίαν εἶναι τοῦ χυλοῦ, μάλισα δὲ ὠφελεῖν εὔλογόν ἐστι τὴν στύψιν, ὅταν ἐν οὐσίᾳ τοιαύτῃ περιέχηται. τὰ γάρ τοι παχυμερῆ τῶν στυφόντων συνάγοντα τῇ στύψει καὶ πυκνοῦντα τὴν ἐπιφάνειαν αὐτῶν σωμάτων οἷς ὁμιλεῖ, μέχρι τοῦ βάθους τῶν σωμάτων ὁδοιπορεῖν ἑαυτὰ κωλύει. οἷς γὰρ καὶ ἄλλως διὰ τὸ παχυμερὲς τῆς οὐσίας ἀδύνατον ἦν ἐξικνεῖσθαι πρὸς τὸ βάθος, τούτοις ἔτι ἀδυνατώτερον πυκνωθέντος τοῦ σώματος ὅλον ὠφελῆσαι τὸ φλεγμαῖνον. ἄριστον οὖν εἶναι τὸν χυλὸν τῶν καρύων πεισθεὶς, ἑψηθέντος τε μετὰ τοῦ μέλιτος αὐτοῦ γευσάμενος, οὐδὲν ἀηδὲς ἔχοντος εἰς τέτταρας μοίρας ἀεὶ διαιρῶν, ἐμβάλλω μὲν αὐτίκα τῇ μιᾷ τῶν στυφόντων τι, τῇ δευτέρᾳ δὲ σμύρνης καὶ κρόκου καὶ τῇ τρίτῃ θείου ἀπύρου καὶ νίτρου. τὴν τετάρτην δὲ φυλάττω μόνην εἰλικρινῆ, παιδίοις τε χρήσιμον ἐσομένην διὰ τὴν γλυκύτητα καὶ τοῖς ἐκλύτοις τὴν γνώμην ἀνδράσι καὶ γυναιξίν. ἐγὼ μὲν οὖν ὑπὸ τοῦ λόγου ποδηγηθεὶς εὗρον

ὥσπερ τὴν τῶν νευροτρώτων ἀγωγὴν, οὕτω καὶ τοῦτο τὸ φάρμακον
12.908 ἁπάντων ἄμεινον. ἔστι μὲν γὰρ καὶ τὸ διὰ τῶν βατίνων ἰσχυρότερον τοῦ διὰ τῶν μόρων, ὥσπερ γε τοῦτο τοῦ διὰ τοῦ γλεύκους. ἁπάντων δὲ τούτων βέλτιόν ἐστι τὸ διὰ τοῦ χυλοῦ τῶν καρύων. ἐπὶ μὲν ἀρχομένων τῶν φλεγμονῶν ἅμα τοῖς στύφουσιν ἰσχυρῶς σκευασθὲν, ἐπὶ δὲ τῶν ἀκμαζουσῶν, εἰ κρόκου τι καὶ σμύρνης προσλάβοι, καὶ μέντοι καὶ μόνον ἐνίοτε δύναται τὰς μετρίας φλεγμονὰς ἰᾶσθαι. ἡνίκα δὲ διαφορεῖσθαι χρὴ τὸ σφηνωθὲν τοῦ τὴν φλεγμονὴν ἐργασαμένου χυμοῦ, μετὰ τῆς τῶν δριμέων μίξεως χρήσιμον ὑπάρχει. ἀλλ᾽ ἴσως ἐρεῖ τίς μοι τῶν πενήτων ἰατρῶν, ἀγαπᾷν αὐτὸ εἰ πυξίδα μίαν ἔχοι πληρῶσαι τοῦ φαρμάκου σκευάσας ἅπαξ, ἐμὲ δὲ κελεύειν ἢ ἐξ ἀρχῆς εὐθέως τέτταρας αὐτοῦ ποιῆσαι συνθέσεις ἢ μίαν ἀποθέμενον ἐκ μέλιτός τε καὶ χυλοῦ συγκειμένην ἐπὶ τῆς χρείας αὐτῇ μιγνύειν, ἄχρι μὲν ἐπιρρεῖ τι τοῖς φλεγμαίνουσι τὰ στύφοντα σφοδρῶς, ἐπειδὰν δὲ παύσηται, τὰ πέπτοντα, κενώσεως δὲ χρῃζόντων τῶν ἐπιρρυέντων τὰ διαφοροῦντα· δύσεργον δ᾽
12.909 εἶναι τοῦτο καὶ χαλεπὸν οἷς οὐκ ἔστιν οἴκοι παρασκευὴ τῶν ἁπλῶν ἁπάντων φαρμάκων· ἀλλ᾽ οὐδ᾽ εἰς ὁδοιπορίας ἐπιτήδειόν με παρασκευὴν ὑφηγεῖσθαι, καθ᾽ ἃς οὐχ οἷόν τε τέτταρας ἑκάστου φαρμάκου διαφορὰς ἐπιφέρεσθαι. διὰ τοῦτο οὖν καὶ ἐπενοήθη κἀμοὶ καὶ τοῖς πρὸ ἐμοῦ τὰ μέσα ταῖς δυνάμεσιν φάρμακα, πρός τε τὰς ὁδοιπορίας ἐπιτήδεια γεννησόμενα καὶ τοῖς πένησιν ἰατροῖς χρήσιμα. τίνα μὲν οὖν ἐστι ταῦτα μικρὸν ὕστερον ἐρῶ, νυνὶ δὲ ἀπαντῆσαι τῷ λόγῳ τῶν πενήτων ἰατρῶν βούλομαι. καθάπερ γὰρ αὐτοὶ τὴν πενιχρὰν παρασκευὴν ἐπαινοῦσιν, οὕτω χρὴ καὶ τοῖς πλουσίοις ἐπιτρέπειν αὐτοῖς ἀξίαν πλούτου παρασκευὴν φαρμάκων κεκτῆσθαι. γινώσκω γὰρ ἤδη που καὶ αὐτὸς οὐ μόνον ἰατροὺς πένητας ὄντας πολλοὺς, ἀλλὰ καὶ τοὺς ὑπ᾽ αὐτῶν θεραπευομένους, οἷς ἀγαπητόν ἐστιν, ἐπειδὰν νοσῶσιν, χόνδρον ἅμα μελικράτῳ προσενέγκασθαι καὶ καθαρὸν ἄρτον ἔχειν ἤ τι τῶν εἰς κατάπλασμα χρησίμων ἀλεύρων. ἀλλὰ τὸν γεγραφότα θεραπευτικὴν
12.910 πραγματείαν εὔλογόν ἐστιν ἁπάσης τῆς ὕλης μνημονεύειν, ὅπως τοῖς τε εὐποροῦσιν αὐτοῖς ὑπάρχῃ τεχνικῶς χρῆσθαι τοῖς τε πένησιν ἐκείνοις μόνοις, ὧν ἂν ἑκάστοτε τύχωσιν εὐποροῦντες.

Περὶ τῆς τῶν μέσων συνθέσεως φαρμάκων. Εἴπωμεν οὖν ἤδη τι περὶ τῆς τῶν μέσων φαρμάκων συνθέσεως, ἀπὸ τοῦ διὰ τῶν μόρων ἀρξάμενοι. κοινὸν δὲ αὐτοῖς ἐστι πρὸς τὰ μέσα τὴν συμμετρίαν ὁρίσαι τοῦ μέλιτος πρὸς τὸν χυλὸν, εὑρίσκεται δὲ αὕτη διὰ τῆς πείρας. ἀναμίξας γὰρ τῷ μέλιτι τὸν μιγνύμενον χυλὸν καὶ γευσάμενος, εἰ μέν σοι φαίνοιτο συμμέτρως ἔχειν, ὁμοίως αὖθις αὐτὰ μίξεις, εἰ δὲ ἐλλείπειν τι δοκοίη, προσθήσεις. οἷον εὐθέως ἐπὶ τοῦ τῶν συκαμίνων χυλοῦ τὸ πέμπτον εἰ μιχθείη μέλιτος, εἴη ἂν μέση κρᾶσις, ὡς ἐψηθέντος τοῦ φαρμάκου τοῖς πλείστοις μὲν ἀρέσκειν πάνυ τὴν μίξιν, ὀλίγους δὲ μέμψασθαι, τοὺς μὲν ὡς γλυκύτερον εἴη, τοὺς δὲ ὡς αὐστηρότερον. ὡς γὰρ καὶ τὸ μελίκρατον ἔνιοι μὲν ὑδαρέστερον, ἔνιοι δὲ γλυκύτερον ἡδέως πίνουσιν, οὕτω καὶ
12.911 τοῖς φαρμάκοις ἑκάτεροι χαίρουσι κατὰ τὴν οἰκείαν φύσιν. ὅταν γοῦν τις αὐτῷ φάρμακον ἀξιώσῃ σκευασθῆναι, πάντως δεῖ που τεθεᾶσθαι τῷ μὲν γλυκυτέροις ἡδομένῳ πλέον τοῦ μέλιτος ἐμβάλλοντα, τῷ δὲ τοῖς ἐναντίοις ἧττον. ἐπὶ μὲν οὖν τῶν καταπινομένων φαρμάκων στοχάζεσθαι χρὴ μάλιστα τῆς τῶν προσφερομένων αὐτὰ φύσεως. τὸ γὰρ ἀηδῶς ληφθὲν ἀνατρέπει τὸν στόμαχον. ἐπὶ δὲ τῶν στοματικῶν ἐγχωρεῖ καταφρονῆσαί ποτε τῆς τοιαύτης ἀκριβείας. ἡ τοίνυν μέση κρᾶσις, ὥσπερ ἔφην, τοῦ χυλοῦ πρὸς τὸ μέλι πενταπλάσιον ἐχέτω τὸν χυλὸν τῷ πλήθει. ἄκουε δέ μου προσέχων τὸν νοῦν ἀκριβῶς οἷς χρῶμαι ῥήμασιν ἐν τῇ πρὸς ἄλληλα συμμετρίᾳ τῶν μιγνυμένων φαρμάκων. ἄρτι μὲν γὰρ ἐκέλευσα πενταπλάσιον εἶναι τῷ πλήθει τὸν χυλὸν τοῦ μέλιτος, οὐδὲν διαφέρον εἰ καὶ κατὰ τὸν ὄγκον εἴποιμι πενταπλάσιον εἶναι δεῖν αὐτόν. ὁποτέρως γὰρ ἂν ῥηθῇ, μετρῆσαι χρὴ τὰ μιγνύμενα φάρμακα. τῷ μέντοι σταθμῷ κελεύσαντός μου πενταπλάσιον εἶναι τόδε τὸ φάρμακον, τοῦδε διὰ ζυγοῦ
12.912 χρὴ ποιεῖσθαι τὴν συμμετρίαν τοῦ βάρους αὐτῶν. ἄχρι μὲν οὖν τῆς τοῦ χυλοῦ πρὸς τὸ μέλι μίξεως, οὐκ ἀναγκαῖόν ἐστι κοτύλης ἢ κυάθου μνημονεύειν, ἀλλ᾽ ἀρκεῖ φάναι πενταπλάσιον εἶναι χρῆναι τὸν χυλὸν τοῦ μέλιτος. ἐὰν δέ τι τούτοις μιγνύῃς ἄλλο τῶν εἰρημένων ἀρτίως ἀναγκαῖόν ἐστιν εἰπεῖν, ὁπόσοις οὖσι κατὰ τὸν ὄγκον αὐτοῖς ὁπόσον μίξεις ἐκείνων, ἐπὶ ζυγοῦ στήσας, οἷον ἐπ᾽ αὐτοῦ τοῦ διὰ τῶν μόρων ἐν τῇ τοῦ Καππάδοκος Ἥρα βίβλῳ φαρμακίτιδι, μέλιτος μὲν ἐμβάλλεται λίτραν α′. τοῦ χυλοῦ δὲ τῶν μόρων λίτρας στ′. ἐπιμίγνυσι δ᾽ αὐτοῖς ϛ α′.

τοῦ κρόκου, τῆς δὲ σμύρνης τὸ διπλάσιον. ἴσον δὲ τῷ κρόκῳ βάλλει καὶ τοῦ χυλοῦ τῆς ὄμφακος, ὅπερ ὀμφάκιον ὀνομάζεται, καὶ τούτου πάλιν ἥμισυ τῆς σχιστῆς στυπτηρίας. ἐμοὶ δὲ ἀρέσκει πενταπλάσιον μὲν τοῦ μέλιτος βάλλειν τὸν χυλὸν, ἴσον δὲ κρόκου τε καὶ σμύρνης ἑκατέρου ⸂α΄ ΄΄. ὥστε ἐξ ἀμφοτέρων τὰς τρεῖς συνάγεσθαι. τοῦ δὲ ὀμφακίου βαλὼν μέν τις καὶ οἴνου αὐστηροῦ κοτύλην μίαν, ὡς ὁ Ἥρας ἀξιοῖ. καλῶς ἂν μίξῃ ⸂α΄. εἰ δὲ χωρὶς οἴνου σκευάζοιτο, πολὺ πλέον ἐμβάλλειν αὐτοῦ
12.913 προσήκει. εἰ μὲν μέσον τῇ κράσει βουληθῇς γενέσθαι τὸ φάρμακον, γο α′. εἰ δὲ αὐστηρότερον ὡς πρὸς τὰς ἀρχὰς ἁρμόσῃ, πάντως μὲν δύο καὶ τρεῖς ποτε μίξας οὐκ ἂν ἁμάρτοις. εἰ δὲ οὐκ ἔχοις ὀμφάκιον, ἀντ᾽ αὐτοῦ ῥοῦ χυλὸν ἔμβαλλε. καὶ εἰ βουληθῇς δὲ τὸ ἴσον ἑκατέρου βάλλειν, οὐδ᾽ οὕτω τι βλάψεις. ὅ γε μὴν Ἥρας ἐν τῇ συμμετρίᾳ τοῦ φαρμάκου καὶ τοῦτο προσέγραψεν οὕτω. τινὲς δὲ καὶ κοτύλην μίαν γλυκέος οἴνου, δηλονότι γλεῦκος δηλῶσαι βουληθεὶς, προείρηκε γὰρ οἴνου αὐστηροῦ ἀθαλάσσου κοτύλην α′. ἐμοὶ δὲ οὐκ ἀρέσκει, τοῦ μέλιτος αὐτάρκους βεβλημένου, μετὰ τοῦ καὶ κοτύλην αὐστηροῦ οἴνου προσειληφέναι, μιγνύει πάλιν οἴνου ἄλλην γλυκέος κοτύλην, ἔσται γὰρ οἰνῶδες πάνυ τὸ φάρμακον. ἔψουσι δὲ τὸ διὰ τῶν μόρων τοῦτο φάρμακον ἔνιοι μὲν ἐξ ἀρχῆς μίξαντες τὸν χυλὸν τῶν συκαμίνων, ἔνιοι δέ τι βραχὺ προεψήσαντες. ὁ δὲ Ἥρας ἔοικεν ἐπιπλέον ἀξιοῦν ἕψειν τὸν χυλὸν μόνον, ἔγραψε γοῦν οὕτως. μόρων χυλοῦ κοτύλας στ′. ἕψε ὡς γλοιοῦ ἔχειν τὸ πάχος, εἶτα πρόσμιξον
12.914 λεῖα κρόκου ⸂α΄. καὶ τἄλλα δηλονότι τὰ εἰρημένα. κᾀγὼ δὲ ἀξιῶ προεψεῖσθαι τὸν χυλὸν μόνον αὐτὸν καθ᾽ ἑαυτὸν, εἶθ᾽ οὕτως προσλαμβάνειν τὸ μέλι. κᾀπειδὰν ἤδη μέλλῃς αἴρειν τὴν κακάβην ἀπὸ τοῦ πυρὸς, ἐπιμιγνύειν τὰ λοιπά. φαίνεται δὲ ὁ Ἥρας ἅμα τῷ μέλιτι κελεύων καὶ τἄλλα μίγνυσθαι. τὸν μὲν οἶνον οὖν εὐλόγως ἄν τις τότε μιγνύοι. τὴν σμύρναν δὲ καὶ τὸν κρόκον ἄμεινον ἐπὶ τῷ τέλει τῆς ἑψήσεως προσεμβάλλειν, ἄχρι τοσούτου μετὰ τῶν ἄλλων ἕψοντας ἢ μετὰ τὸ θεῖναι κάτω τὴν κακάβην κινοῦντας, ἄχρις οὗ πάνθ᾽ ἑνωθῇ καλῶς. τὸ δ᾽ ἐπιπλέον ἕψειν αὐτὰ καθαιρετικὸν τῆς δυνάμεως γίνεται τῶν ἀρωματικῶν φαρμάκων. λιθάργυρος μὲν γὰρ καὶ μολύβδαινα, καὶ ἄλλα πολλὰ τῶν μεταλλικῶν ἑψόμενα βελτίω γίνεται. κρόκος δὲ καὶ σμύρνα καὶ ἄλλα πολλὰ τῶν ἀρωμάτων ἐν ταῖς ἑψήσεσιν ἀποβάλλει τὴν

δύναμιν. ἡ μὲν οὖν τοῦ μέσου τῇ δυνάμει φαρμάκου συμμετρία τε καὶ ἔψησις ἁρμόττουσα ταῖς μετρίαις φλεγμοναῖς καὶ ταῖς τῶν μειζόνων ἀκμαῖς, ἔτι τε τὸ πρὸς τὰς ἀρχὰς καὶ τὰς αὐξήσεις αὐτῶν ἁρμόττον
12.915 φάρμακον εἴρηται. πρὸς δὲ τὰς σκληρυνομένας φλεγμονὰς, ὅταν ἤδη παύσηται μὲν ἡ ἀκμὴ καὶ μηκέτι ἐπιρρέῃ μηδὲν, ἥκῃ δὲ τοῦ διαφορεῖν ὁ καιρὸς, ἐπιμίγνυσθαι προσήκει τῷ στοματικῷ φαρμάκῳ τῶν διαφορητικῶν ἔνια. τοιαῦτα δ' ἐστὶν ὅ τε ἀφρὸς τοῦ νίτρου καὶ αὐτὸ τὸ μαλακὸν νίτρον, Ἀσίας τε πέτρας ἄνθος καὶ θεῖον ἄπυρον. ἀρκεῖ δὲ τῇ προειρημένῃ τοῦ μέσου συμμετρίᾳ συμμιχθῆναι νίτρου μὲν γο . τοῦ θείου δὲ γο β . εἰ δὲ μήτε ἐσκευασμένον ἔχοις αὐτὸ οὕτω μήτε παρείη σοι νίτρον ἢ θεῖον ἢ τὸ τῆς Ἀσίας πέτρας ἄνθος, ἀναζέσας ὀρίγανον ἐν σιρκίῳ, καλοῦσι δὲ αὐτὸ παρ' ἡμῖν πάντες ἔψημα, μίξας τῷ στοματικῷ φαρμάκῳ κέλευσον ἀνακογχυλίζειν· μὴ παρόντος δὲ ἐψήματος, ἐν μελικράτῳ προαναζέσας τὸ ὀρίγανον. οὐδὲν δὲ διαφέρει κἂν ὕσσωπον ἐμβάλῃς ἀντὶ τῆς ὀριγάνου, κἂν εἰ γλήχωνα, κἂν εἰ θύμον, κἂν εἰ θύμβραν ἢ καλαμίνθην ἢ τὴν εὐώδη μίνθην, ἣν οἱ παλαιοὶ καλοῦσιν ἡδύοσμον. ἐν μέντοι ταῖς ἀκμαῖς τῶν φλεγμονῶν οὐ μόνον οὐδὲν χρὴ τῶν τοιούτων φαρμάκων προσφέρειν, ἀλλὰ καὶ τοὐναντίον ἅπαν
12.916 ὀλιγάκις μὲν χρῆσθαι τοῖς στοματικοῖς φαρμάκοις, διακλύσμασι δὲ καὶ ἀναγαργαλίσμασι παρηγορικωτέροις πέπτειν τὴν φλεγμονὴν, οἷόν ἐστι τό τε διὰ τῶν λιπαρῶν ἰσχάδων ἀφέψημα καὶ τὸ σχίνινον ἔλαιον, ἐπὶ διπλοῦ σκεύους χλιαινόμενον. ἀλλὰ καὶ αὐτὸ τὸ στοματικὸν φάρμακον ἐν ταῖς ἀκμαῖς ἀνακογχυλίζεσθαι προσήκει, μιγνύμενον ὑδαρεῖ μελικράτῳ ἢ θερμῷ τῷ σιραίῳ· μὴ παρόντων δὲ τούτων, ὕδατι θερμῷ. ἐπικρατεῖν γὰρ χρὴ τηνικαῦτα τὴν παρηγορικήν τε καὶ πεπτικὴν ἀγωγὴν, ὥσπερ ἐν ταῖς παρακμαῖς τὴν διαφορητικὴν, ἥτις διὰ τῶν ἰσχυροτέρων γίνεται φαρμάκων. τὸ δὲ ἐμὸν φάρμακον, τὸ διὰ τοῦ χυλοῦ τῶν καρύων, ὅτι μὲν ἁπάντων τῶν ἄλλων ἐστὶ δραστικώτατον, ἔργῳ πεπείρασθε, πρὸς ὑμᾶς γὰρ ὁ λόγος ἐστί μοι τοὺς ἑταίρους, οἷς μάλιστα χαριζόμενος ἐπὶ τήνδε τὴν πραγματείαν ἥκω. ὅτι δὲ καὶ πάντων ἐστὶν εὐωνότατόν τε καὶ εὐποριστότατον οὐδεὶς ἀγνοεῖ. ῥίπτουσι γὰρ οἱ κηπουροὶ τὰ λέμματα τῶν χλωρῶν καρύων, ὅταν ἐκλέψαντες αὐτὰ τύχωσιν, ὥστε κοφίνους μεγίστους πληροῦν ἡμᾶς προῖκα. τὸ μέλι τοίνυν μόνον ὡς πένησιν

12.917 ἰατροῖς, καὶ γὰρ κἀκείνοις ἡμᾶς δεῖ κοινωνεῖν ὧν ἐροῦμεν, ὑπολείπεται μόνον ὅταν ᾖ δεόμενον, ἄλλο δ' οὐδὲν, εἰ μὴ βούλοισθε, πολλάκις γὰρ οὕτω σκευασθὲν τὸ φάρμακον οὐδέν τι χεῖρον ἐφάνη τοῦ διὰ τῶν μόρων εἰς ὃ τὸν κρόκον καὶ τὴν σμύρναν ἐνεβάλομεν. ἀλλ' εἰ καὶ στυπτηρίας αὐτῷ προσμῖξαι βουληθείημεν, οὐκ ἀνάγκη τὴν σχιστὴν ἐμβάλλειν. αὐτάρκως γὰρ στύφει καὶ ἡ ὑγρὰ, ἣν καλοῦσιν ἔνιοι φόριμον, εὐωνοτάτην τε καὶ εὐποριστοτάτην ὑπάρχουσαν ἐν πᾶσι χωρίοις, ἀπολειπομένην μέντοι τῇ λεπτομερείᾳ τῆς σχιστῆς, καὶ διὰ τοῦτο ἧττον ἀνύουσαν. καὶ μέντοι κἂν ὁ κηπουρὸς αὐτὸς ἤ τις ἄγροικος ἄλλος, ἐθέλῃ σοι σκευάσαι τὸ φάρμακον, ἔχοι προῖκα καὶ τοὺς κυτίνους ἐμβάλλειν ξηροὺς κόψας τε καὶ διασήσας, ὀνομάζονται δ' οὕτως αἱ πρωτόγονοι ῥοιαὶ, καθ' ὃν γὰρ χρόνον ἀνθοῦν παύεται τὸ δένδρον, ὁ καρπὸς αὐτοῦ φαίνεται σχηματιζόμενος εἰς ἰδέαν ῥοιᾶς, ὃν ἔνεστιν ἀφελόντα καὶ ξηραίνοντα φυλάττειν εἰς τὸν καιρὸν τοῦ καρποῦ τῶν καρύων. ἐν μὲν γὰρ τῇ τελευτῇ τοῦ ἦρος οἱ κύτινοι γεννῶνται· παυσαμένου δὲ τοῦ
12.918 θέρους εἰς τελείωσιν ἀφικνεῖται τὰ κάρυα, καὶ μέντοι καὶ καταπίπτουσιν ἐπὶ τὴν γῆν πολλοὶ τῶν κυτίνων ἢ ὑπὸ ἀνέμου διασεισθέντες ἢ καὶ ἄλλως πως οὓς ἔνεστιν ἀνελομένους ξηραίνειν, ὡς μηδὲ κατὰ τοῦτο δοκεῖν τι δαπανᾶν τοὺς πένητας ἰατρούς. ἴστε δὲ δήπου καὶ ὡς ὁ τῶν ὀξέων τε καὶ στρυφνῶν ῥοιῶν, ὧν ὀλίγου δεῖν ἄβρωτος ὁ καρπὸς, οἱ κύτινοι κρείττους εἰσὶν, ὥστε κἂν ἀφέλῃς τῶν δένδρων αὐτοὺς, ἢ οὐδείς σε κωλύσει τὸ παράπαν ἢ βραχυτάτην αἰτήσει δοῦναι τιμήν. τὸ δὲ βαλαύστιον ὀνομαζόμενον ἄβρωτόν ἐστι τελέως, ἐπὶ τῷ βουλομένῳ συλλέγειν ὑπάρχον, ὥσπερ ὀρίγανος καὶ θύμβρα καὶ θύμος καὶ ὅσα τοιαῦτα. καὶ τοίνυν καὶ τὸ βαλαύστιον, εἰ θελήσει τις ὠμὸν κόψας καὶ διασήσας ἐμβαλεῖν κατὰ τὴν ἀναλογίαν ἣν ἔμπροσθεν εἶπον ἴσα ὀμφακίῳ, χρήσιμον ἐργάσεται τὸ φάρμακον. ἀλλὰ καὶ τὰ λέμματα τῶν ῥοιῶν, εὐποριστότατόν ἐστι πρᾶγμα στύψιν ἱκανωτάτην ἔχοντα, συμβάλλεσθαι τοῖς εἰρημένοις εὐθὺς ἐν ἀρχῇ δυνάμενα, κάλλιστον δ' ἂν γένοιτο φάρμακον, εἰ κατ' ἐκεῖνον τὸν καιρὸν τῶν ῥοιῶν οὔπω μὲν
12.919 οὐσῶν τελείων, οὐ μὴν οὐδὲ πόρρω πάνυ τῆς τελειώσεως ἐμβάλλειν ἀπ' ἀρχῆς ἐψημένῳ χυλῷ τῶν καρύων ἐθελήσαις. χρὴ δὲ θλᾶν ἐν ὅλμῳ

πρότερον αὐτὰ, ἕνεκα τοῦ ταχέως ἐς τὸ σκευαζόμενον φάρμακον ὅλην ἐκταθῆναι τὴν δύναμιν αὐτῶν.

Περὶ σκευασίας τοῦ διὰ ῥοιῶν καὶ μήλων καὶ ἄλλων στοματικῶν. Οὐσῶν δ' ἐν ταῖς ῥοιαῖς τριῶν διαφορῶν, ἔνιαι μὲν γὰρ αὐτῶν εἰσιν αὐστηραὶ, στρυφναὶ δὲ ἕτεραι, καί τινες ὀξεῖαι, τὰς μὲν αὐστηρὰς μόνας ἐμβαλόντι σοι στυπτικώτερον ἔσται τὸ φάρμακον. τὰς δὲ γλυκείας ἥδιον, ὥσπερ γε καὶ σφοδρότερον, εἰ τὰς ὀξείας ἐμβάλλοις. ἐγὼ δ' εἴωθα τὸ ἴσον ἑκάστου γένους μιγνύναι· καὶ γὰρ καὶ ἄλλως αὐτὰς μόνας τὰς πεπείρους ῥόας ὅλας κόπτων μετὰ τῶν λεμμάτων, εἶτα τὸν χυλὸν ἐκθλίβων ἕψων τε μετὰ μέλιτος, οὐ μόνον στοματικὸν ἴσχω φάρμακον, ἀλλὰ καὶ πολλοῖς ἄλλοις ὠφέλιμον, ὡς αὖθις εἰρήσεται. καὶ γίνεται καὶ οὗτος ὁ χυλὸς
12.920 ἀμείνων εἰς πάντα τῶν τριῶν τῆς ῥοιᾶς εἰδῶν ἢ γενῶν ἢ διαφορῶν ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. μίγνυμεν δὲ καὶ τῶν βάτων τὸν καρπὸν, ὃν ἔνιοι μὲν ἀπὸ τοῦ φυτοῦ παρονομάζουσι βάτινα προσαγορεύοντες, ἔνιοι δὲ συνθέτῳ προσηγορίᾳ μόρα καλοῦσι, προστιθέντες τὰ ἀπὸ τῶν βάτων, ἐξ ὧν ὁ χυλὸς ὁμοίως σκευαζόμενος τῷ διὰ τῶν συκαμίνων ἄμεινον ἐκείνου γίνεται φάρμακον, ἀπολειπόμενον δὲ τοῦ διὰ τῶν καρύων. καὶ μήλων δὲ τῶν κυδωνίων ἀχράδων τε καὶ μεσπίλων ὁ χυλὸς ὁμοίως σκευασθεὶς στοματικὸν γίνεται τὸ φάρμακον, ἐπιτήδειόν τε καταποθῆναι τοῦ διὰ τῶν καρύων, οὐκ ἔχοντος τοῦτο. βλαβερὸν μὲν γὰρ οὐκ ἔστιν ὡς χάλκανθον, οὐ μὴν εὐστόμαχόν γε. πρόδηλον δ' ὅτι καὶ τὸ διὰ τῶν ῥοιῶν ἐστιν ἐπιτήδειον ἐκλύτῳ καὶ ἀνορέκτῳ στομάχῳ, λείπεται μέντοι τοῦ διὰ τῶν μήλων. ἀβλαβὴς δὲ καὶ ὁ τῶν βατίνων χυλὸς εἰς κατάποσιν, ὥσπερ γε καὶ ὁ τῶν συκαμίνων, ἀλλ' ὁ τῶν βατίνων ἔχει τι καὶ τονωτικὸν τοῦ στομάχου τοῦ τῶν συκαμίνων οὐκ ἔχοντος.
12.921 ἐμβάλλεται δὲ οὐ κατὰ τὴν αὐτὴν ἀναλογίαν ἅπασι τοῖς χυλοῖς τὸ μέλι. πλείστου μὲν γὰρ ὅ τε τῶν καρύων δεῖται καὶ μετ' αὐτὸν ὁ τῶν βατίνων τε καὶ συκαμίνων, ὀλίγου δὲ ὅ τε τῶν μήλων καὶ τῶν ῥοιῶν καὶ ἀχράδων, ἐν τῷ μεταξὺ δὲ αὐτῶν ὁ μεσπίλων, καὶ ἀπὸ κρανίων δὲ καὶ βραβύλων καὶ τῶν καλουμένων παρ' ἡμῖν προύμνων. σκευάζεται δὲ παρ' ἡμῖν στοματικὰ φάρμακα κατὰ τὸν αὐτὸν τρόπον, ὃν κατ' ἀρχὰς εἶπον ἐπὶ τῶν μόρων, ἐφ' ὧν ἁπάντων τῆς κατασκευῆς ἐρῶ τινα λόγον κοινὸν τόνδε. παχεῖ μὲν φανέντι τῷ χυλῷ τὸ μέλι μιγνύειν εὐθέως προσῆκεν, εἰ

δ’ ὑγρότερος εἴη, προεψηθέντι. δέχεται δὲ ὁ τῶν ἀπίων μὲν καὶ μήλων χυλὸς, ἔτι δὲ τῶν πλείστων ὀπωρῶν, ἴσον ἑαυτῶν τὸ μέλι, τῶν στρυφνῶν δ’ ἱκανῶς, οἷόσπερ ἐστὶν ὁ τῆς κρανίας καρπὸς, ἐνίοτε μὲν διπλάσιον, ἔστι δ’ ὅτε καὶ τριπλάσιον. πάντα δ’ οὖν ταῦτα καταπίνειν ἀκίνδυνον. χαλκάνθου δὲ μιχθέντος ἢ μιχθείσης, ὁποτέρως σοι φίλον ὀνομάζειν, οὐ πάνυ τι χρὴ καταπίνειν τὸ σκευασθὲν τοῦτο φάρμακον,
12.922 πλὴν εἰ κατὰ τὸν στόμαχον ἢ κατὰ τὴν κοιλίαν ἑλκώδη διάθεσιν ὑπονοήσαιμεν γίνεσθαι. καὶ κατὰ τὸ στόμα δὲ αὐτὸ κακοήθων ἑλκῶν γινομένων, ἀμείνω τὰ διὰ χαλκάνθου φάρμακα. δραχμὴ δὲ ἀρκεῖ μιγνυμένη τῇ προειρημένῃ συνθέσει, καθ’ ἣν ἡ μία τοῦ μέλιτος εἴρηται βάλλεσθαι λίτρα, καὶ πλέον δ’ ἄν ποτε καλῶς βληθείη πρὸς τὰ σηπεδονώδη τῶν ἑλκῶν. ἕκαστον δὲ ὧν εἶπον ἐμβάλλειν ποτὲ καὶ γλεύκει σταφυλῶν αὐστηρῶν, ἃς ὀνομάζουσιν ἀμιναίας. ἄμεινον δὲ τὸ τελευταῖον γλεῦκος εἰς τὰ τοιαῦτα. τὸ γὰρ ἐν ἀρχαῖς ῥέον ὑγρότερόν ἐστι καὶ ὑδατωδέστερον. ἐμβάλλειν δὲ χρὴ τῶν εἰρημένων φαρμάκων τὰ στρυφνότερα, καθάπερ ἐμὲ ἐθεάσασθε πολλάκις ἤτοι ῥοιὰς ἢ βαλαύστιον ἢ κυτίνους ἢ ἀκάνθης Αἰγυπτίας καρπὸν ἢ τὸν τῆς κρανίας ἤ τι τῶν οὕτω στυφόντων μιγνύντα· μάλιστα δὲ ἐπιτήδειός ἐστι ῥοῦς, εἴτε ἀρρενικῶς ἐθέλοις ὀνομάζειν αὐτὸν εἴτε θηλυκῶς. ἔστι δὲ διττὸς, ὁ μὲν ἕτερος ἐπιπαττόμενος τοῖς ὄψοις εὐστόμαχος, ὁ δὲ ἕτερος τοῖς βυρσοδέψαις χρήσιμος. ἑκάτερος δὲ ἐνεψηθεὶς ἐν τῷ γλεύκει στοματικὸν ἐργάζεται φάρμακον, ᾧ μιγνύειν ἔξεστί σοι τἄλλα κατὰ τὴν αὐτὴν ἀναλογίαν τῇ
12.923 διὰ τῶν μόρων εἰρημένῃ. χωρὶς δὲ τοῦ μιχθῆναι μέλιτι μόνον αὐτὸ τὸ γλεῦκος εἰς μελιτώδη σύστασιν ἀχθὲν, ἐξαιρεθέντων τε τῶν ἐμβληθέντων, ἀγαθὸν γίνεται φάρμακον εἰς ἀρχὰς καὶ ἀναβάσεις καὶ ἀκμάς· εἰς δὲ τὰς παρακμὰς, ἐὰν δᾷδας ἐπιμίξῃς λιπαρὰς ἢ καὶ κόψας εἰς λεπτὰ καὶ θλάσας ἐμβάλλῃς τῷ γλεύκει μετὰ τῆς ῥοῦ, κἄπειτα μετὰ μίαν ἡμέραν ἑψήσας, ἄχρις ἂν ἐναπόθωνται τῷ γλεύκει τὴν ἑαυτῶν ποιότητα, τηνικαῦτα δὲ ἐξαίρειν μὲν ἐκεῖνα καὶ ἀπορρίπτειν, ἕψειν δὲ τὸ γλεῦκος ἕως ἐπιτηδείου συστάσεως, ὡς διάχριστον γενέσθαι τὸ φάρμακον. ὅσα δὲ ἔμπροσθεν εἶπον ἐμβάλλεσθαι τῶν στυφόντων εἰς τὸ διὰ τῶν καρύων τοῦ χυλοῦ σκευαζόμενον φάρμακον, ἅπαντα καὶ νῦν ἀκηκοέναι πίστευε τῷ γλεύκει μιγνύμενα. καὶ μέντοι κἂν πολυτελέστερον ἐθέλῃς ποιῆσαι τὸ

φάρμακον, ἐμβαλεῖς καὶ κασσίας φλοιὸν ἢ νάρδον Ἰνδικὴν ἢ τὸ τοῦ μαλαβάθρου φύλλον. ὥσπερ γὰρ τοῖς πένησιν, οὕτω καὶ τοῖς πλουσίοις χρὴ γράφειν ἡμᾶς φάρμακα. τὰ δὲ αὐτὰ τοῖς προειρημένοις στοματικοῖς
12.924 φαρμάκοις μίγνυται. δραχμὴ δὲ ἀρκεῖ τῶν τριῶν ἑκάστου, πρὸς τὴν τοσαύτην συμμετρίαν τοῦ φαρμάκου, καθ' ἣν ἡ λίτρα τοῦ μέλιτος ἐμβάλλεται. βλάψεις δ' οὐδὲν, εἰ προσθήσεις ἑκάστης δραχμῆς τὸ ἥμισυ μέρος, ὡς γενέσθαι πάσας τέτταρας καὶ ἡμίσειαν. πρὸς δὲ τὰς σκληρυνομένας φλεγμονὰς τὰ δυνάμενα διαφορεῖν γενναιότερον ἐμβάλλεται κοπέντα δηλονότι καὶ διασηθέντα, καιρὸς δ' ἐμβάλλειν αὐτὰ μὴ κατ' ἀρχὰς, ἀλλ' ὁπόταν ἐγγὺς γένηται τῆς παντελοῦς ἑψήσεως τὸ φάρμακον ἢ καὶ τελέως ἑψημένον, ὡς χαμαὶ τίθεσθαι τὸ ἀγγεῖον. ἔστι δὲ ταῦτα κόστος τε καὶ ἄμωμον καὶ τὸ καλούμενον μάκερ. ὀνομάζεται δὲ οὕτω φλοιός τις ἀρωματικὸς ἐκ τῆς Ἰνδίας κομιζόμενος, ἱκανῶς θερμαίνων τε καὶ στύφων, ἀλλὰ καὶ ὁ Κυρηναῖος ὀπὸς εἰς διαφόρησιν τῶν σκληρυνομένων φλεγμονῶν ἐπιτήδειος, ὥσπερ γε καὶ ὁ Μηδικὸς ἤ τις τῶν μετ' αὐτούς. τοῖς πένησι δ' ἐμβλητέον ἀντὶ τῶν πολυτελῶν φαρμάκων τῶν διαφορητικῶν ἤτοι δίκταμνον ἢ ἄκορον ἢ μῆον ἢ πύρεθρον ἢ καρδαμώμου τε καὶ νάπυος ἴσον, εἰς τριῶν δραχμῶν
12.925 σταθμοὺς συμπληρουμένου τοῦ τῶν μιγνυμένων ὄγκου, πρὸς τὴν εἰρημένην ἐξ ἀρχῆς τῶν στοματικῶν φαρμάκων συμμετρίαν, ἐν οἷς ἦν ἡ λίτρα τοῦ μέλιτος. εἰ δὲ καὶ τεττάρων ἢ πέντε ποιῆσαι θελήσεις δραχμῶν τὸ συμπληρούμενον ἐκ τούτων, διαφορητικώτερον ἕξεις τὸ φάρμακον. ἀνάλογον γὰρ ἀεὶ χρὴ ταῖς κατασκευαῖς τῶν παθῶν συναυξάνεσθαι καὶ συμμειοῦσθαι τὴν σφοδρότητα τῶν φαρμάκων.

Περὶ σκευασίας τοῦ διὰ γλεύκους, ἐν οἷς καὶ εὐπόριστα διάφορα. Ἐπὶ τοῦ διὰ γλεύκους εἰς κοτύλας δέκα τοῦ γλεύκους, τρεῖς μὲν ἐμβάλλομεν κοτύλας τοῦ ῥοῦ τῶν βυρσοδεψῶν ἢ τοῦ τοῖς ὄψοις ἐπιπαττομένου. συναμφοτέρων δὲ ἐμβαλλομένων, ἑκατέρου μίαν τε καὶ ἡμίσειαν καὶ βραχὺ πλέον. ἀνάλογον δὲ καὶ τῶν διαφορητικῶν, ὁποῖον ἂν εὐπορῶμεν. εἰ δὲ ἓν ἔχοιμεν μόνον ἢ κατ' ἀρχὴν ἐμβάλλειν τῶν στυπτικῶν ἢ κατὰ τὸ τέλος τῶν διαφορητικῶν, ἐκείνου τὸ πᾶν ἐμβάλλομεν, ὅπερ ἐξ ἁπάντων ἠθροίζετο. τῷ τ' οὖν προειρημένῳ διὰ τῶν καρύων ἐπεμβάλλεσθαι
12.926 πάντα καὶ τῷ διὰ τοῦ γλεύκους. ἐμβάλλειν δ' εἰ οἷόν τε καὶ εἴ τι μὴ

λέλεκται κατ᾽ ἐκεῖνον τὸν λόγον, οἷον ἢ κηκίδα τὴν ὀμφακῖτιν ὀνομαζομένην ἢ ἀκρέμονας μαλακοῦ βάτου ἢ κυνοσβάτου καὶ κρανίας, ἧς καὶ τὸν καρπὸν ἔφαμεν ἐμβάλλεσθαι δεῖν, ὥσπερ καὶ τῶν προύμνων μύρτα τε καὶ τῆς μυρίκης καὶ Αἰγυπτίας ἀκάνθης τὸν καρπὸν, ἅπαντά τε τὰ στύφοντα χωρὶς τῶν φαρμακώδη δύναμιν ἐχόντων, ὅπως μὴ καταποθέντα βλάπτῃ. πάντα δὲ τὰ ὁπωσοῦν σκευασθέντα φάρμακα στοματικὰ χρήσιμα γίνεται κατά τινας ἰδίους καιροὺς, ἐὰν αὐστηρότερα μὲν γένηται, κατὰ τὰς ἀρχὰς καὶ τὰς σφοδρὰς ἐπιρροὰς, ἐὰν δὲ μετριώτερα, κατὰ τὰς ἀκμὰς, ἐὰν δὲ διαφορητικώτερα, κατὰ τὰς παρακμὰς, ὥστε κᾆν μὴ σκευάσωμεν αὐτοί τι μηδὲ τὴν συμμετρίαν τῶν ἐμβληθέντων ἴδωμεν, ἀλλὰ γευσώμεθα μόνον αὐτοῦ συνθέτου φαρμάκου, γινώσκειν ἡμᾶς ὅπως αὐτῷ χρηστέον. τούτων οὖν ἡμᾶς μεμνημένους ὅταν ἀνάγκη ποτὲ καταλάβῃ τῶν ἐκ πολλῆς πείρας
12.927 κεκριμένων φαρμάκων ἀποροῦντας αὐτοὺς σχεδιάζειν ἐκ τῆς κατ᾽ ἐκεῖνο τὸ χωρίον ὕλης εὐπορίστου, συνθεῖναι δυνήσεσθε φάρμακον ἐπιτήδειον. οὐ μόνον δ᾽ εἰς τοῦτο χρήσιμόν ἐστι, μεμνῆσθαι τῶν προειρημένων, ἀλλὰ καὶ πρὸς τὴν τῶν εὑρημένων ἐπιτήδειον χρῆσιν. ἐὰν μὲν γὰρ ἐπικρατοῦσαν ἐν αὐτοῖς εὑρίσκητε τὴν στυπτικὴν ποιότητα, κατ᾽ ἀρχὰς χρῆσθαι προσῆκεν· ἐὰν δὲ τὴν παρηγορικήν τε καὶ χαλαστικὴν καὶ πεττικὴν, ἐν ταῖς ὀδύναις τε καὶ ἀκμαῖς τῶν φλεγμονῶν· ἐὰν δὲ σκιρρούμενόν τι καὶ δύσλυτον ὑπολείπηται τῆς φλεγμονῆς, ἐν ταῖς παρακμαῖς διαφορητικήν. οὕτω δὲ κᾆν τοῖς μεταξὺ καιροῖς τὰ μεταξὺ τῶν εἰρημένων φαρμάκων προσοίσετε φάρμακα, μεταβαίνοντες ἀπὸ τῶν ἀποκρουστικῶν ἐπὶ τὰ διαφορητικὰ κατὰ βραχύ. κᾆν μὲν ἓν φάρμακον ὑμῖν ὑπάρχον ᾖ, ἐκλύοντες μὲν αὐτὸ μίξει μελικράτου τε καὶ ὕδατος, ἐπιτείνοντες δὲ διὰ τῆς τῶν εὐπορίστων ἐπιμιξίας. ἔστι δὲ εὐπόριστα μὲν τῶν στυφόντων ῥόδα καὶ μύρτα καὶ μυρσίνη καὶ σχῖνος καὶ βάτος καὶ κυνόσβατον καὶ κηκὶς ἡ ὀμφακῖτις ὀνομαζομένη καὶ ὁ τῆς Αἰγυπτίας
12.928 ἀκάνθης καρπὸς, αἵ τε στυπτηρίαι πᾶσαι. ἐφεξῆς δὲ αὐτῶν εὐπόριστα, ῥοῦς ὁ ἐπὶ τὰ ὄψα καὶ ὁ τῶν βυρσοδεψικῶν καὶ ὁ χυλὸς, ὃς ἀπὸ τῆς Συρίας κομίζεται. οὗτος μὲν οὖν αὐτὸς καθ᾽ ἑαυτὸν μίγνυται. ὁ δὲ τῶν σκυτοδεψῶν καὶ ὁ ἐπὶ τὰ ὄψα προαφεψηθέντες ὕδατι τοῦτο παρέχουσιν εὔχρηστον εἰς τὴν μίξιν. ἔστι δὲ ἐκ τῶν εὐπορίστων καὶ γλαύκιον καὶ

ὀμφάκιον καὶ κύτινοι καὶ βαλαύστια, ἐκ δὲ τῶν διαφορούντων εὐπόριστα μέτρια μὲν ἰσχάδων ἀφέψημα καὶ πίτυρον καὶ μελίκρατον ἐναφεψημένης ὀριγάνου καὶ ὑσσώπου ἢ θύμου ἢ καλαμίνθης ἢ γλήχωνος ἢ τῆς εὐώδους μίνθης, ἣν ἡδύοσμον ὀνομάζουσιν. ἰσχυρότερα δὲ καὶ ταῦτα μὲν ἐπὶ πλεῖον ἑψημένα. καὶ νίτρου δὲ ἀφρὸς ἢ καὶ αὐτὸ κεκαυμένον. ἰσχυρότερον δὲ τούτων ἐστὶ τὸ θεῖον ἄπυρον.

Στοματικῶν φαρμάκων σύνθεσις, ἐν οἷς καὶ διὰ μόρων κατὰ τὸν Ἥραν. Καλεῖται μὲν ἰδίως στοματικὰ τὰ πρὸς σταφυλὰς παρίσθμια καὶ πάσας τὰς ἐν τῷ στόματι γινομένας ἐξαίφνης φλεγμονὰς ἁρμόττοντα. συντίθεται δὲ διὰ τῆς προειρημένης ὕλης, ἧς αἱ κατὰ μέρος συνθέσεις πάμπολλαι
12.929 τετυχήκασι γεγενημέναι τοῖς ἰατροῖς, ἐγὼ δὲ κἀνταῦθα τῶν ἐνδόξων μνημονεύσω.

Σύνθεσις τοῦ διὰ μόρων ὡς Ἥρας. Τὸ διὰ τῶν μόρων φάρμακον στοματικὸν, ποιοῦν πρός τε παρίσθμια καὶ σταφυλὰς καὶ τὰς ἄλλας τὰς ἐν τῷ στόματι φλεγμονὰς διαχριόμενόν τε καὶ ἀνακογχυλιζόμενον, ὡς προείρηται. σκευάζει δὲ αὐτὸ ὁ μὲν Ἥρας οὕτω. ♃ μόρων χυλοῦ κοτύλας στ′. ἕψε ὡς γλοιοῦ πάχος ἔχειν, εἶτα πρόσμιξον λεῖα, κρόκου ϟ α′. σμύρνης ϟ β′. ὀμφακίου ϟ α′. σχιστῆς τριώβολον, μέλιτος κοτύλην α′. αὐτὸς δέ φησιν ὁ Ἥρας καὶ ἑτέρως σκευάζειν αὐτὸ κατὰ τόνδε τὸν τρόπον· κρόκου ϟ τὸ ἥμισυ ἐπεμβαλλομένης καὶ γλυκέος κοτύλης μιᾶς καὶ οἴνου ἀθαλάσσου αὐστηροῦ, κοτύλης μιᾶς, ἡ δὲ ἕψησις μέχρι μελιτώδους συστάσεως.

Ἀνδρομάχου τὸ διὰ μόρων φάρμακον. Ἀνδρόμαχος δὲ περὶ τοῦ διὰ μόρων φαρμάκου κατὰ λέξιν οὕτω γράφει. ♃ μόρων χυλοῦ κοτύλας στ′. βαλὼν
12.930 εἰς αὐτὸ κηκίδας ε′. γλυκείας τε ῥίζης ϟ κ′. οἴνου Χίου κοτύλην α′. ἡλίαζε ἢ ἕψε. εἶθ’ ὅταν συστραφῇ, ἄρας τὰς ῥίζας ῥῖπτε, τὰς δὲ κηκίδας λειώσας μίγνυε σμύρνης ϟ α′. κρόκου ϟ α′. σχιστῆς ϟ α′. ὀμφακίου ϟ β′. τινὲς δὲ καὶ στυπτηρίας ϟ β′. μέλιτος Ἀττικοῦ κοτύλην μίαν. εὔδηλον δ’ ὅτι τοῦτο τὸ φάρμακον στυπτικώτερόν ἐστι τοῦ προγεγραμμένου, μάλιστα ἐὰν τὴν στυπτηρίαν προσλάβῃ. ἱκαναὶ μὲν γὰρ καὶ αἱ κηκίδες καὶ τὸ ὀμφάκιον στυπτικώτερον ἱκανῶς ἀποτελεῖν αὐτό. τῆς στυπτηρίας δὲ προστεθείσης ἐπιπλέον αὐξηθήσεται τὰ τῆς στυπτικῆς δυνάμεως αὐτῷ. καλῶς μέντοι

μέμικται κατὰ τὴν σκευασίαν ἡ γλυκεῖα ῥίζα, πραϋντικὴ τραχυτήτων ὑπάρχουσα καὶ κατὰ τοῦτο τὴν ἐκ τῶν στυφόντων τραχύτητα παρηγορεῖν δυναμένη. ἀντὶ δὲ τοῦ τῶν μόρων χυλοῦ βάλλεται καὶ ὁ τῶν βατίνων ὀνομαζομένων χυλὸς, τῶν ἄλλων ὅπως ἂν ἐθέλῃς προστιθεμένων, εἴθ' ὡς Ἥρας εἴθ' ὡς Ἀνδρόμαχος ἔγραψεν. εἴρηται δ' ὑπ' ἐμοῦ πρόσθεν, ὅπως ἐνδέχεται ποικίλλειν αὐτὸ τῇ τῶν ἐπιβαλλομένων ἐπιμιξίᾳ. λέλεκται δ' ὅτι καὶ διὰ τοῦ χυλοῦ τῶν καρύων, τῶν ἄλλων ὁμοίως
12.931 ἐμβαλλομένων, συντίθεσθαι δύναται τὸ φάρμακον, ἀλλὰ καὶ διὰ ῥοιῶν χυλοῦ παραπλησίως σκευάζεται καὶ μόνου τοῦ χυλοῦ μετὰ μέλιτος σκευαζομένου καὶ τῶν ἄρτι λελεγμένων ἐπεμβαλλομένων. οὕτω δὲ καὶ ὁ τῶν βάτων καρπὸς μετὰ μέλιτος σκευασθεὶς αὐτάρκως στῦφον γίνεται φάρμακον, ὥσπερ γε καὶ ὁ διὰ τοῦ χυλοῦ τῶν καρύων, καθότι πρόσθεν εἴρηται. ἀλλὰ καὶ ποικίλα τῇ συνθέσει φάρμακα διὰ ῥοιῶν χυλοῦ γέγραπται τοῖς ἰατροῖς, ὥσπερ καὶ τῷ Ἀνδρομάχῳ κατὰ τήνδε τὴν λέξιν.

Τὸ διὰ τῶν ῥοιῶν στοματικὸν Ἀνδρομάχου. ⁋ Ῥοιῶν ἀπυρήνων γλυκειῶν μέρη δύο καὶ ὀξειῶν μέρος α′. ἔκθλιβε τὸν χυλὸν εἰς ἄγγος χάλκεον, ὥστε ἔχειν χοέα α′. εἶτα διυλίσας ἕψε ἐπὶ πυρὸς μαλακοῦ, ἕως λειφθῇ τὸ γ′. ἔστω δὲ λείας σμύρνης ἀμιναίας ⋖ η′. κροκομάγματος ⋖ η′. ὀμφακίου ⋖ η′. Ἰλλυρίδος ⋖ η′. στυπτηρίας ⋖ δ′. κηκίδος ⋖ η′. τούτοις παραχέας ὑγρὸν λέαινε καὶ ἕψε ὡς μέλιτος πάχος ἔχειν, εἶτα κατεράσας εἰς θυείαν λέαινε καὶ χρῶ, ὁτὲ μὲν σὺν μέλιτι, ὁτὲ δὲ ἀκράτῳ. οὗτος οὐ
12.932 συνέψει τὸ μέλι τῷ χυλῷ τῶν ῥοιῶν, ἀλλ' ὕστερον ὅταν σκευασθῇ χρῆσθαι κελεύει διττῷ φαρμάκῳ, ποτὲ μὲν ἀκράτῳ πρὸς τὰς δηλονότι στύψεως δεομένας φλεγμονὰς, ποτὲ δὲ καὶ μετὰ μέλιτος, ὅταν καὶ διαφορεῖσθαι δέωνται. τὸ πλῆθος δὲ τοῦ χυλοῦ χοέως εἶναι κελεύει, τουτέστι ξε. στ′. τῶν Ῥωμαϊκῶν ξεστῶν. ἐν Ῥώμῃ γὰρ ἰατρεύσας τοῖς πᾶσι πόλεως ταύτης χρῆται μέτροις. ἐπεμβάλλει δὲ αὐτοῖς σμύρνης μὲν καὶ κροκομάγματος καὶ κηκίδος καὶ ἴρεως Ἰλλυρικῆς, Ἰλλυρίδα γὰρ αὐτὴν εἴωθεν ὀνομάζειν, ἔτι δὲ πρὸς τούτοις καὶ ὀμφακίου τῶν πέντε ἀνὰ γο α′. αἱ γὰρ ὀκτὼ δραχμαὶ οὕτω δύνανται. τῆς δὲ στυπτηρίας τῆς σχιστῆς ἡμιούγγιον. ἔγραψε δὲ ἐφεξῆς ὁ Ἀνδρόμαχος καὶ τὸ διὰ τοῦ γλεύκους στοματικὸν φάρμακον, ὠδί πως κατὰ λέξιν γράφων.

Ἀνδρομάχου στοματικὸν διὰ γλεύκους, ᾧ χρῶμαι. ⟨ Κηκίδας λ ′ . ῥοὸς βυρσοδεψικοῦ ξε. β ′ . γλεύκους ξε. στ ′ . τὰς κηκίδας θλάσας ἔμβρεξον σὺν τῷ ῥοΐ, ἡμέραν καὶ νύκτα ἐν τῷ γλεύκει, εἶτα ἔψε ἕως ἂν γένηται τὸ
12.933 τέταρτον τοῦ παντὸς, καὶ διηθήσας δι’ ὀθονίου καὶ ἐκθλίψας σύστρεψον ἐν λοπάδι, ἕως ἂν μελιτῶδες γένηται, εἶτα λεῖα πρόσβαλλε στυπτηρίας σχιστῆς ⟨ α′. κρόκου ⟨ α′. σμύρνης ⟨ α′. συμμίξας ἀπόθου καὶ χρῶ. οὐδὲν περὶ τοῦ γλεύκους ἐδήλωσεν, ἐξ ὁποίας αὐτὸ σταφυλῆς βούλεται λαμβάνεσθαι, πότερον τῆς τὸν αὐστηρὸν οἶνον γεννώσης ἢ τὸν γλυκὺν, ἢ τὸν μέσον. ἡμᾶς οὖν χρὴ γινώσκειν, ὅτι τὸ μὲν διὰ τοῦ γλυκέος σκευασθὲν φάρμακον παρηγορικώτερόν τε καὶ μέτριον ἔσται καὶ ἧσσον δραστικὸν, ἐφ’ ὧν δὲ χρὴ στύψει χρῆσθαι σφοδροτέρᾳ, διὰ τῶν στρυφνῶν οἴνων σκευασθὲν σφοδρότερον μὲν στύφει, τὸ πραΰειν δ’ οὐκ ἔχει. δῆλον δ’ ὅτι καὶ τὸ διὰ τοῦ μέσου τούτων σκευασθὲν τὴν μέσην ἔχει δύναμιν.

Κρίτωνος στοματικὴ ἡ διὰ ῥοιῶν. Κρίτων δὲ τὸ διὰ τοῦ χυλοῦ τῶν ῥοιῶν φάρμακον οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασιν. στοματικὴ ἡ διὰ ῥοιῶν πρὸς ἕλκη καὶ τὰ ἀφθώδη. ⟨ ῥοιῶν γλυκειῶν χυλοῦ κοτύλας στ′. ἔψε ἐν χαλκῷ ἀγγείῳ εἰς τὸ γ′. εἶτα λείου κινναμώμου ⟨ α′. κασσίας ⟨ α′.
12.934 σμύρνης ⟨ α′. ὀμφακίου τριώβολον, κρόκου τριώβολον, νάρδου Ἰνδικῆς τριώβολον, τούτοις πρόσμιγε μέλιτος κοτύλην μίαν, καὶ οὕτω προσεμβαλὼν τὸν χυλὸν, ἐπὶ μαλθακοῦ πυρὸς κινῶν, ἔψε ἕως συστραφῇ, καὶ χρῶ. γράφει δὲ καὶ ἄλλην σύνθεσιν τοῦ διὰ ῥοιῶν φαρμάκου τοιαύτην ἐφεξῆς. ῥοιῶν γλυκειῶν σὺν τοῖς λεπύροις τεθλασμένων καὶ ἐκπεπιεσμένων ξε. ἔξ. μέλιτος καλοῦ ξε. α . βαλὼν εἰς χύτραν ἔψε, ἕως ἂν μέλιτος σχῇ πάχος, εἶτα σχιστῆς γο α . σμύρνης γο . λεῖα ποιήσας ἔμβαλλε καὶ μίξας χρῶ. στυπτικώτερον δηλονότι τοῦτο τὸ φάρμακον ὁ Κρίτων ἔγραψε τοῦ πρὸ αὐτοῦ. γελοίως οὖν τινες ποιοῦσιν, ἐρωτῶντες, πότερόν ἐστιν αὐτῶν κρεῖττον θατέρου, ἑκάτερον γὰρ ἐν ἰδίῳ καιρῷ κρεῖττόν ἐστι θατέρου. πρὸς μὲν τὰ σφοδροτέρας στύψεως δεόμενα τοῦτο τὸ δεύτερον, πρὸς δὲ τὰ διαφορήσεως τὸ πρότερον μάλιστα, διότι καὶ τὸ κιννάμωμον ἐνέβαλλεν αὐτῷ διαφορητικὸν φάρμακον. ἔγραψε δὲ καὶ τὸ διὰ γλεύκους ὁ Κρίτων ὠδί πως.

Κρίτωνος στοματικὴ ἡ διὰ τοῦ γλεύκους. Στοματικὴ ἡ διὰ τοῦ γλεύκους
12.935 ποιεῖ καὶ πρὸς τὰ ἐν ὠσὶ καὶ ἐν ἕδρᾳ. ♃ γλεύκους ξε. ἕξ. ἕψε μέχρι ξε. β′. εἶτα μῖξον ῥοὸς βυρσοδεψικῆς ≤ δ′. οἱ δὲ ≤ β′. καὶ κηκίδων ≤ δ′. οἱ δὲ καὶ κηκίδας λ′. κρόκου ≤ β′. οἱ δὲ ≤ α′. στυπτηρίας σχιστῆς ≤ β′. τινὲς δὲ σμύρνης ≤ α′. μέλιτος ξε. α′. μίξας χρῶ. πολλὰ δὲ καὶ ἄλλα φάρμακα διὰ τῶν εἰρημένων χυλῶν γέγραπται πολλοῖς τῶν ἰατρῶν, πεποικιλμένα ταῖς συμμετρίαις, ἐνίων μὲν ἅπαντα βαλλόντων τὰ προειρημένα, τινῶν δὲ καὶ ἀφαιρούντων ἄλλων ἄλλο, καὶ τῶν μὲν πλέον, τῶν δὲ ἔλαττον βαλλόντων, ἐφ᾽ ὧν ὡς εἶπον, ἐπισκοπεῖσθαι χρὴ τί τὸ πλεονάζον ἐστὶ, πότερον τὸ στυπτικόν τε καὶ ἀποκρουστικὸν ἢ τὸ παρηγορικόν τε καὶ πεπτικὸν ἢ τὸ διαφορητικόν. οὕτω γὰρ ἂν ἔσται καλῶς αὐτοῖς χρῆσθαι. διὸ καὶ καταλείψω τὰς κατὰ μέρος τῶν γεγραφότων διαφορὰς, ἐφ᾽ ἕτερα δὲ φάρμακα μεταβήσομαι, χωρὶς τῶν εἰρημένων χυλῶν σκευαζόμενα.

Τὰ χωρὶς χυλῶν συντιθέμενα στοματικὰ φάρμακα δι᾽ ὄξους καὶ κηκίδων. Στοματικὸν φάρμακον ἔγραψεν ὅ τε Ἀνδρόμαχος καὶ ὁ Κρίτων τὴν αὐτὴν
12.936 συμμετρίαν ἔχον. ἀρκέσει τοιγαροῦν τὴν γραφὴν εἰπεῖν Ἀνδρομάχου ὡδί πως ἔχουσαν αὐτοῖς ὀνόμασιν. στοματικὴ Ἀριστοκλέους πρὸς συνάγχας καὶ τὰ λοιπὰ τὰ ἐν τῷ στόματι, ταύτῃ καὶ Ἀντίπατρος ἐχρήσατο. κηκίδας ἀριθμῷ λ . ὄξους λευκοῦ κύαθον α . οἱ δὲ κυάθους θ . σμύρνης η . νάρδου Ἰνδικῆς α . ῥοῦ τῆς ἐπὶ τὰ ὄψα, κύαθον α . οἱ δὲ κυάθους θ . στυπτηρίας σχιστῆς α . πεπέρεως κόκκους κ . μέλιτος Ἀττικοῦ κυάθους β . οἱ δὲ κύαθον α . ἕψονται δ᾽ αἱ κηκίδες ἐν τῷ ὄξει, ἕως ἂν ἁπαλαὶ γένωνται, καὶ λεανθεῖσαι μίγνυνται τῷ μέλιτι ἐπὶ τῆς χρήσεως, τινὲς δὲ καὶ μανδραγόρου σπέρματος γο α′. ταῦτα μὲν ὁ Ἀνδρόμαχος ἔγραψε, τάχα δ᾽ ἄν τις ἀπορήσειε διὰ τί γράψας ὄξους κύαθον ἕνα . προσέγραψεν, οἱ δὲ κυάθους θ . παρὰ πολὺ γὰρ ἡ συμμετρία τῆς συμμετρίας ὑπερέχει, καθάπερ γε πάλιν κἀν τῷ φάναι, ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα κύαθον α . οἱ δὲ κυάθους θ . κατὰ μόνας οὖν ἐξεταζόμενον ἑκάτερον ἀπορίαν ἔχει, πρὸς ἄλληλα δὲ συμπλεκόμενα προσηκόντως γέγραπται. ἐὰν μὲν γὰρ κυάθους θ . ἐμβάλλωμεν τοῦ
12.937 ὄξους, ἐμβαλοῦμεν καὶ τοῦ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα τοὺς αὐτοὺς θ . ἐὰν δὲ κύαθον α . τοῦ ὄξους, ἀρκέσει καὶ τοῦ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα κύαθος α . ὥστε ἐπὶ μὲν τοῦ πλέον ἔχοντος ὄξους φαρμάκου τὴν ἕψησιν

ἐπὶ πλέον γίνεσθαι, ἐπὶ δὲ τοῦ ἔλαττον ἐπ᾽ ὀλίγον. ἄμεινον δὲ πολλῷ τὸ ἐπὶ πλέον, οὕτω γὰρ καὶ αἱ κηκίδες ἔσονται μαλακαί. εὔδηλον δ᾽ ὅτι γενναῖόν ἐστι τὸ φάρμακον, ἐξ ἐναντίων συγκείμενον. αἱ μὲν γὰρ κηκίδες καὶ τὸ ὄξος καὶ ὁ ῥοῦς στυπτικώτερα ἔσται καὶ ἀποκρουστικώτατα. διαφορητικώτατον δέ ἐστι τὸ πέπερι, μικτῆς δυνάμεως ἡ νάρδος, ἡ σμύρνη δὲ διαφορητικῆς μὲν, ἀλλ᾽ ἀδήκτου καὶ παρηγορικῆς μετὰ τοῦ συμπέττειν, διαφορητικῆς δὲ καὶ τὸ μέλι δυνάμεώς ἐστιν, ἀλλὰ χωρὶς τοῦ δάκνειν τὰ ἐν τῷ στόματι, ἐπειδὴ τοῖς ὀφθαλμοῖς δακνῶδές ἐστιν. περὶ δὲ τῆς τοῦ ὄξους δυνάμεως ἤδη πολλάκις ἀνεμνήσαμεν, ὡς καὶ τέμνει καὶ διαφορεῖ καὶ ἀποκρούεται. τὸ δὲ λευκὸν πρόσκειται κατὰ τὴν γραφὴν, ἵνα λεπτομερὲς ᾖ. ἔνιοι δὲ καὶ
12.938 τοῦ ὄξους πέντε κυάθους καὶ τοῦ ῥοῦ τοὺς αὐτοὺς ἐμβάλλουσι, μεταξύ πως ἱστάμενοι τῶν τε τὸ πλεῖστον ἐμβαλλόντων καὶ τῶν τὸ ἐλάχιστον ἑκατέρου. δῆλον οὖν ὅτι μέσον ἐκείνων τῇ δυνάμει τὸ φάρμακον παρασκευάζουσιν, ὥσπερ καὶ τῇ συμμετρίᾳ.

Ἡ διὰ τοῦ βήσασα στοματικὴ διάχριστος. ἔνδοξον δὲ καὶ τοῦτό ἐστι τὸ φάρμακον, ὑπὸ μὲν Ἀνδρομάχου κατὰ λέξιν οὕτω γεγραμμένον. Στοματικὸν πρὸς συνάγχας ἡ διὰ βήσασα, πρὸς τὰ ἀπηλπισμένα ποιοῦσα ᾗ χρῶμαι. ἀνίσου σπέρματος, σελίνου σπέρματος, ἄμμεως σπέρματος, σχίνου ἄνθους· στυπτηρίας σχιστῆς, Ἰλλυρικῆς ἴρεως, βήσασα, ὅ τινες ἄρμαλα καλοῦσι, κινναμώμου, σμύρνης τρωγλοδυτικῆς, ἀριστολοχίας μακρᾶς ἀνὰ γο α . κασσίας, ῥόδων ξηρῶν ἀνὰ γο α . κροκομάγματος γο α . κόστου, χελιδόνων σποδοῦ προσφάτου ἀνὰ γο γ . κρόκου γο α . νάρδου Ἰνδικῆς, ἀμώμου ἀνὰ γο . κηκίδας η . λείοις σὺν μέλιτι χρῶ, ἐπὶ δὲ τῆς χρείας ἄνιε μέλιτι. τοῦτο δὲ αὐτὸ τὸ φάρμακον καὶ ὁ Ἥρας ἔγραψεν ὀλίγου δεῖν ἅπαν ὡσαύτως, μόνα γὰρ ὑπήλλαξε τὰ τῶν
12.939 ῥόδων καὶ οὐκ αὐτὰ μᾶλλον, ἀλλὰ τὸ ἄνθος αὐτῶν καὶ προσθεὶς ἐπὶ τέλει, τινὲς δὲ καὶ κασσίας πυρρᾶς γο α′. περὶ δὲ τῶν χελιδόνων ἀμφότεροι γεγράφασιν ἀσαφῶς, καίτοι σαφῶς ἄλλων γεγραφότων, εἰ καὶ διαφωνοῦσιν ἀλλήλοις. οἱ μὲν γὰρ τὴν νεοττιὰν κελεύουσι καίειν, ἐκ τῶν ἀποπατημάτων μάλιστα τῶν χελιδόνων συγκειμένην, οἱ δὲ αὐτὰς τὰς χελιδόνας, οἱ δὲ τοὺς νεοττοὺς αὐτῶν. οὗτοι δὲ ἀσαφέστερον ἔγραψαν, ὁ μὲν Ἀνδρόμαχος χελιδόνων σποδοῦ προσφάτου, ἔδει δὲ

προσθεῖναι κεκαυμένων. τοιοῦτον γάρ τοι τὸ σποδοῦ δηλοῖ, πλὴν εἰ τὴν νεοττιὰν κελεύει λειοῦν. ὁ δὲ Ἥρας χελιδόνων τοῦ χέσματος, μὴ προσθεὶς μηδὲ αὐτὸς τὸ κεκαυμένου. ἴσως οὖν οὐδέτερος βούλεται τὸ κεκαῦσθαι τὸν ἀπόπατον τῶν χελιδόνων, ὥσπερ ἄλλοι. ἔν τισι μέντοι τῶν ἀντιγράφων οὕτω διαγέγραπται. ϗ χελιδόνων τῶν ἁπαλῶν γο α′. καθάπερ ἐν ἑτέροις χελιδόνων τῶν ἀπὸ δοκῶν. πρόδηλον δ’ ὅτι δριμὺ καὶ διαφορητικόν ἐστι τὸ φάρμακον τὸ ἐκ τῶν χελιδόνων ἀποπάτημα, καθάπερ καὶ τὰ ἄλλα πάντα ἁπάντων τῶν ζώων, τὰ μὲν μᾶλλον, τὰ δ’
12.940 ἧττον, ὥσπερ καὶ αὐτῶν τῶν ζώων καυθέντων ἡ τέφρα. εἴρηται δὲ ἡμῖν καὶ περὶ τοῦ βήσασα κατὰ τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν, ὡς ἔστι τῆς τρίτης τάξεως τῶν θερμαντικῶν, καὶ νῦν ὡς τοιοῦτον ἀναμέμικται τῷ προκειμένῳ φαρμάκῳ, τὰ πλεῖστα τῆς διαφορητικῆς δυνάμεως ἔχοντι, καθάπερ ἔνια τῶν ἄλλων στοματικῶν τῆς στυπτικῆς τε καὶ ἀποκρουστικῆς. τά τε γὰρ εἰρημένα φάρμακα διαφορητικώτατα καὶ πρὸς αὐτοῖς ἔτι τὸ κιννάμωμον ὑπὲρ ἅπαντα, λεπτομερῆ τε καὶ διαφορητικὴν ἔχον δύναμιν, ἀλλὰ καὶ τὰ σπέρματα τό τε τοῦ ἀνίσου καὶ τὸ τοῦ σελίνου καὶ τὸ τοῦ ἄμμεως διαφορητικά. καὶ ἡ ἶρις δὲ καὶ ἡ ἀριστολοχία τῶν διαφορητικῶν ἐστιν, ὥσπερ καὶ ἡ σμύρνα. μικτῆς δὲ δυνάμεως ἔκ τε τῆς διαφορητικῆς καὶ τῆς στυπτικῆς ἐστὶ κασσία καὶ κρόκος καὶ νάρδος καὶ ἄμωμος καὶ κόστος. ἐπικρατεῖ δὲ ἐν αὐταῖς ἡ θερμαντική τε καὶ διαφορητικὴ καὶ μάλιστα ἐν τῷ κόστῳ. μικτῆς δὲ καὶ τὸ τοῦ σχίνου ἄνθος, ἀλλ’ ἀσθενοῦς καθ’ ἑκάτερα καὶ τὸ στύφειν καὶ τὸ θερμαίνειν. αἱ δὲ κηκίδες, δῆλον δ’ ὅτι τὰς ὀμφακίτιδας λέγω, τῶν
12.941 στυφόντων ἱκανῶς εἰσὶ φαρμάκων, ὥσπερ καὶ ἡ σχιστὴ στυπτηρία. τὰ ῥόδα δ’ ἔμπαλιν ἀσθενεστάτην ἔχει τὴν στύψιν. ἐξ ἐναντίων οὖν ταῖς δυνάμεσι σύγκειται τῶν κατὰ μέρος φαρμάκων τὸ προκείμενον ἐν τῷ λόγῳ, καὶ οὐ μόνον γε ἐναντίων, ἀλλὰ καὶ ἰσχυρῶν ἑκατέρων, καὶ καθάπερ εἶπον ἔμπροσθεν, ἰσχυροτέρων πολὺ τῶν διαφορητικῶν ἢ τῶν στυπτικῶν. ἐπεὶ δὲ τὴν σκευασίαν αὐτοῦ σαφῶς ἔγραψεν Ἥρας, διὰ τοῦτο καὶ τὴν ἐκείνου λέξιν κοινῇ παραγράψω τόνδε τὸν τρόπον ἔχουσαν.

Ἥρα στοματικὴ διὰ τοῦ βήσασα. Στοματικὴ ποιοῦσα πρὸς συνάγχας καὶ φλεγμονὰς παρισθμίων καὶ ἕλκη τὰ γινόμενα ἐν τῷ στόματι, ἁρμόζει δὲ

καὶ στοματικοῖς καὶ δυσεντερικοῖς ἄκρως, ἐν ψυχρῷ διδομένη κυάμου μέγεθος. ἔστι δὲ καὶ ἀρτηριακὴ καλὴ καὶ ἀνώδυνος. ἀνίσου γο α . ἄμμεως γο α . σελίνου σπέρματος γο α . κόστου γο α . σχίνου ἄνθους γο α . κασσίας γο α . ἴρεως Ἰλλυρικῆς γο α . σχιστῆς γο α . κηκίδας ὀμφακίτιδας μέσας τῷ μεγέθει η . κροκομάγματος γο α . κρόκου γο α . σμύρνης γο . ῥόδων ἄνθους γο β .

12.942 ἀριστολοχίας μακρᾶς γο α . βήσασα σπέρματος γο α . κινναμώμου γο α . ναρδοστάχυος γο α . ἀμώμου βότρυος γο . τινὲς δὲ καὶ κασσίας πυρρᾶς γο α . σποδοῦ χελιδόνων τοῦ χέσματος γο α . τὴν σμύρναν λειοτρίβει μετὰ μέλιτος, τὰ δὲ λοιπὰ πάντα κόψας καὶ σήσας βάλλε εἰς ὅλμον, καὶ ἀναμίξας ὑπέρῳ κατάτεμνε τὴν σμύρναν μετὰ μέλιτος συμμέτρου, ἵνα γένηται τὸ φάρμακον μέλιτος παχύτερον. ἐπὶ δὲ τῆς χρείας μέλιτι διεὶς διάχριε καὶ δίδου ἀναγαργαρίζεσθαι δι' ὕδατος ἢ ὑδρομέλιτος ἢ χυλοῦ πτισάνης. ἐν κασσιτερίνῳ δὲ ἀποτίθεται ἀγγείῳ.

Ἄλλο διὰ χελιδόνων ἄνευ βήσασα στοματικὸν διάχριστον, ὃ Ἀσκληπιάδης ἔγραψε κατὰ λέξιν οὕτως. Ἄλλη, ποιεῖ καὶ συναγχικοῖς. ℩ χελιδόνων ἀγρίων κεκαυμένων τῆς σποδοῦ ‹ δ′. κρόκου ‹ α′. νάρδου Ἰνδικῆς ‹ α′. μέλιτι ἀναλάμβανε, ἡ κρᾶσις πρὸς τὰς ὑποκειμένας διαθέσεις. δεῖ δὲ τὰς χελιδόνας καίειν τὸν τρόπον τοῦτον. ἁλσὶ καταπάσαντες τοὺς νεοττοὺς σὺν τοῖς πτεροῖς βάλλομεν εἰς ἄγγος κεραμεοῦν καὶ τοῦτο φιμώσαντες τίθεμεν ἐπ' ἀνθράκων. χάριν εἰδέναι

12.943 χρὴ τῷ Ἀσκληπιάδῃ οὕτω σαφῶς γράψαντι, ὅπως κελεύει καίεσθαι τοὺς νεοττοὺς τῶν χελιδόνων. ὅτι τὰ ζῶα αὐτὰ καὶ μὴ τὸν ἀπόπατον αὐτὸν εἰς τὴν σύνθεσιν τοῦ φαρμάκου παρασκευάζειν ἀξιοῖ. γέγραπται δὲ καὶ τῷ Ἀνδρομάχῳ διὰ χελιδόνων στοματικὸν φάρμακον ὠδί πως αὐτοῖς ὀνόμασιν.

Τὸ διὰ χελιδόνων πρὸς συνάγχας, ὡς Ἁρπόκρας. ℩ Χελιδόνων κεκαυμένων νεοττῶν ια′. μέλιτος κυ. α′. οἱ δὲ κυάθους β′. μυρσίνης χλωρᾶς χυλοῦ κυ. α′. οἱ δὲ κυάθους β′. σμύρνης τριώβολον, καύσας τοὺς νεοττοὺς μίσγε πάντα καὶ λεάνας χρῶ. σαφῶς καὶ οὕτως ἐνταῦθα τοὺς νεοττοὺς κελεύει καίεσθαι. αὗται μὲν αἱ προγεγραμμέναι δύο διὰ χελιδόνων εἰσὶν ἄνευ τοῦ βήσασα. αἱ δὲ ἄλλαι πρὸ αὐτῶν δύο στοματικαὶ

διά τε χελιδόνων καὶ τοῦ βήσασα. τρίτη δὲ ἄλλη συζυγία φαρμάκων ἐστὶν ὁμογενῶν, ἐν ᾗ χωρὶς τῶν χελιδόνων αἱ διὰ τοῦ βήσασα σκευάζονται.

Ἄλλαι στοματικαὶ διάχριστοι Ἀνδρομάχου. Βέλτιον εἶναι νομίζω μηδὲ
12.944 τὰς ἄλλας παραλιπεῖν ὁπόσας ἐπαινοῦσιν οἱ περὶ τὴν τῶν φαρμάκων ἐμπειρίαν σπουδάζοντες, ἐνταῦθα προσγράψαι, καὶ μάλιστα ἐπειδὴ πολλῶν ἐνταῦθα καὶ αὐτοὶ πεῖραν ἔχομεν, τὰ μὲν αὐτοὶ χρησάμενοι, τὰ δὲ τοὺς συνιατρεύοντας ἡμῖν εἰδότες. ἄρξομαι δὲ ἀπὸ τῶν ὑπ' Ἀνδρομάχου γεγραμμένων, αὐτὰς συνθέμενος ὡς ἐκεῖνος ἔγραψεν.

Πρὸς κιονίδας κεχαλασμένας. Μέλιτος λίτραν μίαν, στυπτηρίας ὑγρᾶς λίτραν μίαν, ῥόδων ἄνθους λίτρας . ὑποκυστίδος χυλοῦ γο γ . ἔψε στυπτηρίαν μέλιτι, εἶτα τὰ ξηρὰ, καὶ οὕτω χρῶ. ἔψε δ' ἐπ' ὀλίγον. καλόν ἐστιν ὄντως τοῦτο τὸ φάρμακον καὶ δεῖ κεχρῆσθαι τρισὶ τρόποις αὐτῷ, καθάπερ ὁρᾶτε χρώμενον ἐμὲ τοῖς πλείστοις τῶν στοματικῶν φαρμάκων. εἷς μὲν γὰρ τρόπος χρήσεώς ἐστι καὶ μάλιστα ἐν ἀρχῇ διαλύοντα τὸ φάρμακον ἢ δι' ὕδατος θερμοῦ ἢ δι' ὑδρομέλιτος, τουτέστι διὰ μελικράτου ἀνακογχυλίζεσθαι. καὶ γὰρ καὶ παρηγορικόν ἐστι τοῦτο καὶ τὸ δέον ἀνύει. μεταξὺ δὲ τῆς τοιαύτης χρήσεως καὶ ἀκράτῳ τῷ φαρμάκῳ χρῆσθαι προσήκει, τοῦτο μὲν διαχρίοντα τοῖς δακτύλοις, τοῦτο δὲ καὶ διὰ
12.945 κοχλιαρίου προσαπτόμενον μετὰ τοῦ ἀναπιέζειν καὶ ἀδεὲς πρὸς τοὐκτὸς ἄγειν τὴν κιονίδα. συμφέρει γὰρ ὡς ὅτι μάλιστα πρὸς τὴν γλῶσσαν αὐτὴν ῥέπειν ἀποχωροῦσαν τῆς εὐθύτητος ἣν ἴσχει τὰ πολλὰ πρὸς τὸν λάρυγγα.

Ἑτέρα στοματικὴ τοῦ αὐτοῦ Ἀνδρομάχου πρὸς πάντα τὰ ἐν τῷ στόματι. ⳨ Κροκομάγματος ⩽ β′. ἴρεως ⩽ δ′. σανδαράχης ⩽ ′′. τουτέστι τριώβολον, τερμινθίνης ⩽ β′. λυκίου Ἰνδικοῦ ⩽ α′. σταφίδος ⩽ η′. ἀλόης ⩽ α′. ὀμφακίου ⩽ α′. στροβύλων πεφωγμένων ⩽ η′. γλυκέος χυλοῦ ⩽ α′. σχιστῆς ⩽ α′. βαλαυστίου ⩽ α′. ῥόδων ἄνθους ⩽ β′. μέλιτος κοτύλας β′ ′′. ἔν τισι δὲ ἀντιγράφοις ⳨ο α′ ′′. γέγραπται. αὐτὸς μὲν ὁ Ἀνδρόμαχος οὐκ ἔγραψεν ὅπως μίγνυσθαι τὸ μέλι χρὴ, πότερον ὠμὸν ἢ ἑφθὸν ἢ μόνον ἀπηφρισμένον, ἐγὼ δ' ἀξιῶ τὸ ἀπηφρισμένον μίγνυσθαι. ἔγραψε δὲ καὶ ἄλλας στοματικὰς διαχρίστους ὁ Ἀνδρόμαχος, ἁπάσας καλὰς, καὶ διὰ τοῦτο κἀμοὶ βέλτιον ἔδοξεν εἶναι μὴ παραλιπεῖν αὐτὰς, ἀλλ' ὑπογράψαι πάσας ἑξῆς, ὡς ἐκεῖνος ἔγραψεν. στοματικὴ ᾗ χρῆσθαί φησιν αὐτός. ⳨

12.946 ἄνθους ῥόδων ‹ β′. πιτυΐδων ‹ α′. κρόκου ‹ α′. σὺν μέλιτι. ἄλλη καὶ αὐτῇ κεχρῆσθαί φησι. ⁊ ἴρεως Ἰλλυρικῆς ‹ η′. κρόκου ‹ η′. οἱ δὲ ‹ δ′. ῥόδων ἄνθους ‹ δ′. σὺν μέλιτι. ἄλλη ⁊ μίσυος Κυπρίου ‹ η′. ἴρεως Ἰλλυρικῆς ‹ δ′. σμύρνης ‹ η′. κρόκου ‹ α′. σὺν μέλιτι. ἄλλη εὐώδης ἁπαλὴ πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή. ⁊ πυρῆνος ‹ γ′. ἀμύλου ‹ β′. σχιστῆς ‹ α′. ῥόδων ἄνθους ‹ α′. κρόκου τριώβολον σὺν μέλιτι. ταῦτα ἐκ τοῦ Κρατίππου νάρθηκος εἶναί φησιν. ἄλλη στοματικὴ Μενεκράτους. ⁊ κρόκου ‹ δ′. βαλαυστίου ‹ γ′. ῥόδων ἄνθους ‹ α′. οἱ δὲ ‹ ′. ἐρείκης καρποῦ ‹ α′. μαλαβάθρου ‹ α′. νάρδου Ἰνδικῆς ‹ α′. στροβύλους κ′. μέλιτι. ἄλλη, ἣν ἐκ τῶν Μελίτου φησὶν εἶναι. ⁊ ῥοῦ ἐρυθροῦ ‹ β′. ῥόδων ἄνθους ‹ α′. κόστου, κρόκου ἀνὰ τριώβολον σὺν μέλιτι. ταύτην καὶ ἀναγαργαρίζεσθαι σὺν γλυκεῖ ἢ ὑδρομέλιτί φησιν, οὐκ οἶδ’ ὅπως τοῦτο προσγράψας. ἅπασαι γὰρ ἀναγαργαρίζεσθαι δύνανται. ἄλλη στοματικὴ, ἣν καὶ αὐτὸς ἐπαινεῖ. ⁊ σχοίνου ἄνθους, σμύρνης, κρόκου, κασσίας,
12.947 στυπτηρίας σχιστῆς, Ἰλλυρίδος ἀνὰ ‹ δ′. νάρδου Ἰνδικῆς ‹ α′. σὺν μέλιτι ἑφθῷ. ἐνταῦθα μὲν οὖν προσέθηκε τὸ ἑφθῷ, κατὰ δὲ τὰς ἔμπροσθεν ἁπλῶς εἶπε μέλιτι, συγχωρῶν ἡμῖν ὡς ἂν θέλωμεν σκευάζειν. ἐγὼ δ’, ὡς ἔφην, μέλιτι ἀπηφρισμένῳ χρῶμαι.

Ἄλλαι διάχριστοι στοματικαὶ, ἃς Ἀσκληπιάδης ἔγραψε. Διάχριστοι πρὸς τὰς ἐν τῷ στόματι σηπεδόνας Ἀσκληπιάδου. ⁊ ῥοῦ ἐρυθροῦ ‹ δ′. ἀκακίας ‹ α′. μυελοῦ ‹ δ′. οἴνῳ Πραμνείῳ διαλύσας, ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ χρῶ διαχρίων. οὐκ οἶδ’ ὅπως παρέλιπε προσγράψαι τῷ τοῦ μυελοῦ, πότερον ἐλαφείου ἢ μοσχείου βούλεται βάλλεσθαι. ἐπεὶ τοίνυν οὐ προσέγραψεν, ἀσφαλέστερόν ἐστιν ἐλαφείου βάλλειν, ἰσχυρὸν γὰρ εἶναι βούλεται τὸ φάρμακον. ἔστι δὲ ἰσχυρότερος ὁ ἐλάφειος μυελὸς τοῦ μοσχείου. ἄλλη. ⁊ ὑποκυστίδος χυλοῦ ‹ β′. βαλαυστίου ‹ α′. λυκίου ὁλκὴν α′. ἀκακίας ‹ α′. ἀναλάμβανε ἐλαίας ὀμφακιζούσης τῷ χυλῷ καὶ μέλιτι φυράσας χρῶ.

Διάχριστοι στοματικαὶ τοῖς δυσχεραίνουσι τὰς φαρμακώδεις ποιότητας ἐπιτήδειοι. Περὶ μὲν τῶν γυναικῶν τί δεῖ καὶ λέγειν, καὶ μάλιστα ὡς αἱ
12.948 πλούσιαι δυσχεραίνουσιν ὑπὸ τρυφῆς τὰς φαρμακώδεις στοματικάς; ἤδη δὲ καὶ ἄνδρες τινὲς οὐ μόνον ὑπὸ τρυφῆς, ἀλλὰ καὶ κακοστόμαχοι φύσει

πως ὄντες, οὐ φέρουσι τὰ τοιαῦτα φάρμακα. καὶ μέντοι καὶ παραρρυέντα πολλάκις εἰς στόμαχον οὐ μόνον ἀηδῆ πώς ἐστιν, ἀλλὰ καὶ βλαβερά. τὰ γοῦν ἐπιεικέστατα αὐτῶν κρόκον ἔχει καὶ σμύρναν καὶ στυπτηρίαν. ἄμεινον οὖν ἐνίας τῶν στοματικῶν ἄνευ τούτων γεγονυίας ἔχειν. ἐπὶ μὲν δὴ τῶν μετρίων φλεγμονῶν ἢ τῶν παρισθμίων ἢ σταφυλῆς, ἄν τε ἄλλου τινὸς μέρους, ἀρκοῦσιν οἱ χυλοὶ μόνοι τῶν εἰρημένων ἄρτι καρπῶν, ὅ τε τῶν βάτων καὶ ὁ τῶν μόρων, ῥοιαί τε καὶ μῆλα τὰ Κυδώνια. καὶ μέντοι καὶ ὁ τῶν καρύων χυλὸς, ὅταν μετὰ μέλιτος μόνον γένηται, τὴν γεῦσιν ἡδεῖαν ἔχει καὶ γλεῦκος τὸ ἐκ τῶν στρυφνοτέρων σταφυλῶν, ἐξ ὧν ὁ Ἀμιναῖος οἶνος γεννᾶται, βληθέντος εἰς αὐτὸ ῥοῦ. τοῦθ’, ὡς προέγραψε, κάλλιστον γίνεται φάρμακον ἑψηθὲν, ὡς εἴρηται. πρὸς δὲ τὰς πλείονος δεομένας στύψεως φλεγμονὰς ἐποίησα διαχρίστους στοματικὰς τοιάσδε.

12.949 τῶν αὐστηρῶν ῥοιῶν τὸν χυλὸν ἢ τῶν αὐστηρῶν κυδωνίων ἢ καὶ ἀμφοτέρων κατὰ τὴν ἔμπροσθεν εἰρημένην ἀναλογίαν ἔμιξα μέλιτι, καὶ ἦν αὔταρκες. ὁ δὲ τῶν συκαμίνων χυλὸς ἀσθενὲς φάρμακον. ἀλλὰ τούτου γε καὶ τῶν εἰρημένων μέσος ἐστὶ κατὰ τὴν στύψιν ὁ τῶν βάτων. ἰσχυρὸς δὲ οὐδενὸς ἧττόν ἐστι καὶ ὁ ἐκ τοῦ λέμματος τῶν καρύων, καίτοι γε οὐκ ὢν ἐν τῇ γεύσει στρυφνός. ἑκάστῳ δὲ τούτων ἔνεστιν ὄμφακας ἐκθλίψαντας μιγνύειν, ἐὰν μὲν βουληθῇς σφοδρότερον ἐργάσασθαι, κατὰ τὸ ἴσον· εἰ δὲ μή γε, πάντως κατὰ τὸ ἥμισυ. σφοδρότατος δὲ αὐτῶν ἐστιν, ἐὰν τὰς ῥοιὰς ὅλας κόψας μετὰ τῶν λεμμάτων ἐκθλίψῃς τὸν χυλὸν, καὶ μᾶλλον δὲ ἂν ὦσι στρυφναί. καὶ ἔτι γε στρυφνότατον ἐν τούτοις ἔσται, προσμιχθέντος τῷ τῶν οὕτω κοπεισῶν αὐστηρῶν ῥοιῶν χυλῷ τοῦ τῆς ὄμφακος, ἅμα συμμέτρῳ μέλιτι. κάλλιον δὲ ἐὰν τὰς ὅλας κεκομμένας ῥοιὰς ἀνεψήσας γλυκεῖ διηθήσῃς. ἔσται δέ σοι καὶ διὰ μόνων τῶν γλυκειῶν ῥοιῶν σκευάζοντι τὸ φάρμακον, ὥσπερ ἀσθενέστερον οὕτως ἥδιον ἐργάσασθαι, καὶ μᾶλλον ἐὰν διὰ τοῦ χυλοῦ μόνου χωρὶς τῶν

12.950 σιδίων αὐτὸ συνθῇς. ἐγὼ δὲ πολλάκις ἔμιξα τὰ τρία γένη τῶν ῥοιῶν, αὐστηρῶν τε καὶ ὀξέων καὶ γλυκειῶν. ὅπως δὲ μὴ λίαν τραχύνοι, γλυκυρρίζης χυλὸν μιγνύων ἐργάσῃ κάλλιστον τὸ φάρμακον. καὶ διὰ τῶν ὀπωρῶν δὲ γενόμενον αὐτὸ καθ’ αὑτὸ μόνον κάλλιστόν ἐστι φάρμακον ἀνακογχυλίζεσθαί τε καὶ διαχρίεσθαι βουλομένοις τὰς ἐν τῷ στόματι φλεγμονάς. ἔστι δὲ καὶ τοῦτο τὸ μὲν αὐστηρότερον, τὸ δὲ μετριώτερον τῇ

στύψει, καὶ λεχθήσεται περὶ τῆς συνθέσεως αὐτοῦ μικρὸν ὕστερον. ἐπεὶ δ' οὐ μόνον ἀποκρουστικὸν δεῖ ἡμᾶς ἔχειν φάρμακον, ἀλλὰ καὶ διαφορητικὸν, εἰ σκιρρούμενόν τι φαίνοιτο, σκευάσεις οὕτως αὐτό. τοῖς μέσοις κατὰ τὴν δύναμιν τῶν εἰρημένων τι ἐμβαλεῖς ἑψομένοις γλήχωνος ἢ θύμων ἢ ὀριγάνου ἢ ὑσσώπου ἢ ἡδυόσμου ἢ καλαμίνθης, εἶτα διηθήσας ἕξεις ἄριστον φάρμακον. εἰ δὲ θερμότερον ἐθέλεις εἶναι, πεπέρεως ἐπεμβάλλειν χρή. ἐσκεύασα δέ ποτε καὶ χωρὶς τοῦ γλήχωνος ἢ θύμων ἤ τινος τοιούτου τὸ διὰ τῶν χυλῶν, μόνον αὐτῷ πεπέρεως ἐπεμβαλών. ἅπασι δὲ αὐτοῖς τὸν τῆς γλυκυρρίζης χυλὸν μιγνὺς ἄμεινον
12.951 ἐργάσῃ τὸ φάρμακον. εἰ δὲ πλουσίοις σκευάζοις, καὶ ἀμώμου τι μίξεις. ἡ δὲ ποσότης τῶν τοιούτων ἡ αὐτή σοι γινέσθω τοῖς τὸν κρόκον καὶ τὴν στυπτηρίαν καὶ τὴν σμύρνην λαμβάνουσιν, ὡς προγέγραπται. ἀντ' ἐκείνων γάρ σοι ἔσται τὸ ἄμωμον, καὶ τὴν μαστίχην δὲ τὴν Χίαν ἐνέβαλόν ποτε, μετὰ τὸ διηθῆσαι δὲ δηλονότι καὶ ἀφελεῖν ἤδη τά γε ἐνεψημένα τὰ τοιαῦτα.

Περὶ ἐσχαρῶν τῶν ἐν τῷ στόματι. Ἐν τοῖς ὑγροῖς καὶ θερμοῖς τόποις τοῦ σώματος, ὁποῖόν ἐστι τὸ στόμα, ταχέως ἐπιγίνεται σηπεδὼν, ἐξ ἧς ἄν τινος αἰτίας ἑλκωθὲν τύχῃ, συντελεῖ δὲ εἰς τοῦτο καὶ τὸ μηδὲν ἐπικεῖσθαι δύνασθαι διὰ παντὸς φάρμακον, ὥσπερ ἐπὶ τῶν ἄλλων ἑλκῶν. ἐκκλύζεται γὰρ ὑπὸ τοῦ σιάλου πάντα, διὸ καὶ τοῖς ἰσχυροτάτοις φαρμάκοις ἀναγκαζόμεθα χρῆσθαι πολλάκις ἐπ' αὐτῶν. ἰσχυρότατα δέ ἐστιν ὅσα τὴν καλουμένην ἐσχάραν ἐργάζεται παραπλησίως τοῖς καυτηρίοις. ἐπὶ μὲν οὖν τῶν ἐκτὸς, ὅταν ἐσχαρωθῇ τὸ θεραπευόμενον μόριον, ἀφιστάμεθα τῶν ἰσχυρῶν φαρμάκων, ἐπὶ τὰ τὰς ἐσχάρας
12.952 ἀφαιροῦντα μετιόντες, ἅπερ εὔδηλον ὅτι τῆς ῥυπτικῆς ἐστι ποιότητός τε καὶ δυνάμεως. ἐπὶ δὲ τῶν ἐν τῷ στόματι διὰ τὴν τοῦ χωρίου φύσιν ἀσφαλὲς εἶναι δοκεῖ μοι μιγνύναι τοῖς ῥύπτουσι φαρμάκοις ἔνια τῶν ἰσχυρῶν, ἃ κατὰ μόνας προσφερόμενα τὰς ἐσχάρας ἐργάζεται. διὰ ταύτην οὖν τὴν αἰτίαν ῥυπτικωτάτῳ μέλιτι μίγνυμεν φάρμακα τὰ αὐτὰς τὰς ἐσχάρας ἐργαζόμενα. καθάπερ ἐπὶ τῶν ῥυπαρῶν ἑλκῶν ἔν γε τῷ δέρματι γεννωμένων, ἔφαμεν χρῆναι μιγνύναι τῷ μέλιτι τὰ βραχέως ῥυπτικὰ, λιβανωτὸν, ὄροβον, ἶριν, ἀριστολοχίαν, ὅσα τε ἄλλα τοιαῦτα, τῷ αὐτῷ λογισμῷ τὰ ἐναντία προστιθέντες, ὡς Ἱπποκράτης ἔφη. ὁ μὲν γὰρ ἐπ'

ἀμφοῖν λογισμὸς εἷς ἐστιν συμμέτρως ἔχων, ὡς πρὸς τὴν διάθεσιν τὸ ῥυπτικὸν προσφέρειν φάρμακον. ἕξεις δὲ σύμμετρον τὸ μέλι τῷ μὲν ἐπὶ τῶν ἑλκῶν ῥύπῳ τοῖς ἀσθενέσι τῶν ῥυπτικῶν μιχθέν. ἐφ᾽ ὧν δὲ διὰ τὴν τοῦ τόπου φύσιν ὑποστροφὴν σηπεδόνος εὐλαβούμεθα τῶν ἰσχυροτέρων τι προσλαβὸν, εὐλόγως οὖν ἔμιξαν τῷ μέλιτι τὰ ξηρὰ φάρμακα, δι᾽ ὧν τὰς ἐσχάρας ἐργαζόμεθα. τινὰ μὲν οὖν τῶν τοιούτων φαρμάκων

12.953 ἔμπροσθεν διῆλθον ἐν ἐκείνῳ τῷ λόγῳ, καθ᾽ ὃν γέγραπται πρὸς τὰς ἐν τῷ στόματι νομάς. τὰ γὰρ αὐτὰ καὶ πρὸς ἐσχάρας ἔφασαν ἁρμόττειν, μέλιτος αὐτοῖς μιγνυμένου, καὶ νῦν δὲ ἐπ᾽ αὐτοῖς ἅπαντα γράψω καί τινα δόξει δεύτερον λέγεσθαι. τὰ μὲν οὖν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα μικρὸν ἔμπροσθεν ἀναμνῆσαί με χρὴ μόνον, ἐν οἷς ἐδίδαξέ τινα φάρμακα πρὸς τὰς ἐν στόματι νομὰς, παραθήσομαι δὲ τὰς ἀρχὰς αὐτῶν μόνας. ἓν μὲν οὖν φάρμακον οὕτως ἔγραψεν.

Ἀνδρομάχου στοματικὴ, εὐώδης ἁπαλὴ πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή. Συνέθηκεν αὐτὴν διὰ πυρῆνος, ἀμύλου καὶ σχιστῆς καὶ ῥόδων ἄνθους καὶ κρόκου μέλι μιγνύς. ἕτερον τοιοῦτον ἔγραψεν. τροχίσκος πρὸς τὰς ἐν τῷ στόματι διαθέσεις, ἐσχάρας, νομὰς, ᾧ καὶ αὐτῷ σὺν μέλιτι χρῆται. καὶ τὰ ἄλλα δὲ πάντα τὰ πρὸς τὰς νομὰς ὑπ᾽ αὐτοῦ γεγραμμένα καὶ πρὸς ἐσχάρας ἁρμόττει μετὰ μέλιτος.

12.954 Τὰ δὲ ὑπὸ Κρίτωνος γεγραμμένα πρὸς ἐσχάρας αὐτοῖς ὀνόμασιν οὕτως ἔχει. Μίσυ ὠμὸν παραχρῆμα αἴρει· ἐν ἄλλῳ μετὰ μέλιτος ὀπτόν. πρὸς δὲ τὰς ἐν τῷ στόματι ὑδαρεῖ καὶ ὀλίγῳ χρῶ. ἔστωσαν δὲ μίσυος ὀπτοῦ δραχμαὶ γ′. μέλιτος καλοῦ κύαθοι στ′. χρῶ. ὁμοίως ποιεῖ καὶ χαλκῖτις ὀπτὴ μετὰ μέλιτος, ὡς εἶναι γλοιῶδες.

Ἀρχιγένης δὲ περὶ αὐτῶν οὕτως ἔγραψεν. Ἐπὶ δὲ τῶν λεγομένων ἐσχαρῶν ἰδίως συμφωνεῖ κυνεία μετὰ μέλιτος διαχριομένη. ἢ χάλκανθον κηρύματι θαλασσίας πορφύρας εἰλήσας σύγκαυσον μὴ σκύλλων, εἶτα λεῖον μετὰ μέλιτος διάχριε. ἢ πίσσῃ ὑγρᾷ μετὰ μέλιτος ἴσου, ἐλάχιστον κεδρίας προσμίξας χρῶ. ἢ ῥοὸς βυρσοδεψικῆς, ἱκανῶς βραχείσης εἰς τὸ ὕδωρ, μέχρι γλοιῶδες γένηται, ἐψήσας μέλιτι μῖξον καὶ χρῶ, καὶ ὁ Συριακὸς ῥοῦς ποιεῖ μετὰ μέλιτος ἢ χελιδόνων κεκαυμένων τε καὶ ἀνθρωπείας κόπρου τὸ ἴσον σὺν μέλιτι διάχριε. ἢ λύκου ἥπατος ξηροῦ,

ὡς κοχλιάρια δύο λεάνας δὸς πιεῖν. τούτων τῶν φαρμάκων τὰ μὲν ἄλλα πάντα ἐπαινῶ, τὸ δὲ διὰ τῆς ῥοὸς μέμφομαι στυπτικῆς ὂν δυνάμεως,
12.955 οὐδαμῶς ἁρμοττούσης ἐσχάραις. περὶ δὲ τοῦ λυκείου ἥπατος οὐκ ἔχω τί εἴπω. πρὸς μὲν γὰρ τὰς ἡπατικὰς διαθέσεις οἶδα ποτιζόμενον τὸ φάρμακον αὐτὸ καθ' ἑαυτὸ καὶ μιγνύμενον τῷ δι' εὐπατορίου. εἰ δὲ καὶ πρὸς ἐσχάρας τὰς ἐν τῷ στόματι πινόμενον ἁρμόττει, κατά τινα τῆς ὅλης οὐσίας ἰδιότητα τῇ πείρᾳ χρὴ κρῖναι μόνον, περὶ ἧς οὐδὲν ἔχω φάναι μὴ κεχρημένος αὐτοῖς ἐπὶ τῶν τοιούτων. ἡ δὲ κυνεία κόπρος, ὅταν ὀστᾶ βεβρωκότες ὦσιν οἱ κύνες, ἀρίστη κατὰ πάντα ἐστὶ καὶ ὡς βοηθοῦσα μεγάλως καὶ ὡς οὐδεμίαν ἀηδίαν ἐμφαίνουσα τῷ προσφερομένῳ. τὴν δὲ ἀνθρωπείαν ὡς βδελυρὰν ἀεὶ παρῃτησάμην. ἐχρήσατο γοῦν τις αὐτῇ μὴ προλέγων, ἀλλὰ λανθάνειν πειρώμενος. ἐλάμβανε δὲ οὐ τὴν ἐπιτυχοῦσαν, ἀλλὰ παιδίοις ἐδίδου τὸ πλεῖστον τῆς τροφῆς ἄρτον μετὰ τῶν ὀσπρίων, ἃ καλοῦνται θέρμοι, καὶ οὕτω ξηραίνων εἶχεν ἀποκειμένην πρὸς ἅ ποτε βούλοιτο χρῆσθαι. καὶ Μούσας δὲ ἐπὶ πλεῖστον ἐχρήσατο πρῶτος τῇ κυνείᾳ, λευκὴν ἀεὶ παραλαμβάνων. γράφει γοῦν ἐπ' αὐτοῦ τοῦ προκειμένου παθήματος ὠδί πως, ὁμοίως τῇ αὐτῇ κυνείᾳ
12.956 λευκῇ χρώμενος. καὶ μέντοι καὶ ταῦτα κατὰ λέξιν ὁ αὐτὸς Μούσας ἔγραψεν.

Μούσα πρὸς συνάγχην. Πρὸς συνάγχην κυνείαν λευκὴν λαβὼν ξήρανον καὶ λεάνας σῆσον κοσκίνῳ ἰατρικῷ, ἔχε δὲ ἕτοιμον ἐν σταθμιδίῳ καινῷ, ἐπὶ δὲ τῆς χρείας ἄνιε μέλιτι καὶ τότε διάχριε, ὥστε καταπίνειν, ταῦτα γράψαντι τῷ Μούσᾳ δικαίως μαρτυρεῖν ἔστιν. ἰσχυρότερον γὰρ τούτου τοῦ φαρμάκου οὐδὲν ἔγνωμεν, οὐδ' ἐπὶ κυναγχικῶν οὐδ' ἐπὶ τῇ τῶν παρισθμίων μεγάλῃ φλεγμονῇ ἢ ἀντιάδων κινδυνευόντων πνιγῆναι.

Σωρανοῦ. Καὶ τῶν ὑπὸ Σωρανοῦ γεγραμμένων φαρμάκων πεπειράμεθα καλῶς ποιούντων, ἃ κατὰ λέξιν οὕτως ἔγραψεν. ♃ χαλκίτεως ὀπτῆς, μέλιτος Ἀττικοῦ τὸ αὔταρκες, τὴν χαλκῖτιν τρῖβε μετὰ τοῦ μέλιτος, ὡς λάβῃ γλοιοῦ πάχος, καὶ χρῶ. ἄλλη πρὸς ἐσχάρας ποιοῦσα καὶ μυδῶντα καὶ δυσώδη. ♃ μίσυος κεκαυμένου ⸉ η΄. ἴρεως Ἰλλυρικῆς δραχμὰς δ΄. κρόκου ⸉ α΄. ταῦτα λεῖα ποιήσας καὶ μίξας ἀπόθου εἰς πυξίδα ξυλίνην καὶ
12.957 χρῶ κατ' ἰδίαν καὶ μετὰ μέλιτος. καὶ μέντοι καὶ τούτοις ἐφεξῆς ὧδέ πως

ἔγραψεν. ἕτερον φάρμακον ἡ ἀνθηρὰ πρὸς τὰ ὅμοια ποιοῦσα. ⳟ ἴρεως Ἰλλυρικῆς, σανδαράχης, κυπέρου ἀνὰ ⸂ δ΄. στυπτηρίας σχιστῆς, σμύρνης, κρόκου, κροκομάγματος ἀνὰ ⸂ β΄. ταῦτα λειώσας καὶ μίξας χρῶ. τινὲς δὲ καὶ ῥόδων ἄνθος καὶ κηκίδας προσβάλλουσιν ἀνὰ ⸂ β΄. χρῶ δὲ πρὸς μὲν τὰς σηπεδόνας καὶ τὰ ἀφιστάμενα οὖλα καὶ αἱμασσόμενα ξηρῷ, πρὸς δὲ τὰς ἐσχάρας μετὰ μέλιτος.

Τὰ ὑπὸ τοῦ Ταραντίνου Ἡρακλείδου γεγραμμένα πρὸς τὰς ἐν τῷ στόματι ἐσχάρας. Ὁ Ταραντῖνος Ἡρακλείδης ἐν τοῖς πρὸς Ἀντιοχίδα κατὰ λέξιν οὕτως ἔγραψε περὶ τῶν ἐν τῶν στόματι σηπεδόνων. ποιεῖ μὲν καὶ ἡ ἀνθηρὰ προσαπτομένη. ἐὰν δὲ εὐτονωτέρα ὑπάρχῃ ἡ σηπεδὼν, εὔθετός ἐστιν ἡ δύναμις αὕτη. ⳟ βδελλίου κεκαυμένου μέρη γ΄. ἀρσενικοῦ μέρος α΄. λεῖα μίξας χρῶ καὶ ἄνωθεν δὲ τίλμα προσεπιτίθει καταβάψας εἰς ῥόδινον καὶ ἐκθλίψας. ἔνιοι δὲ τοῦ βδελλίου ἐμβάλλουσι μέρη γ΄.

12.958 Ἄλλη πρὸς εὐτόνους σηπεδόνας τὰς ἐν τῷ στόματι καὶ τὰς ἐν ἄλλῳ μέρει τοῦ σώματος. Χαλκίτιδος μέρος α . κονίας ἀσβέστου τὸ ἴσον, ἀρσενικοῦ μέρος . μίξας λεῖα χρῶ.

Ἄλλη πρὸς τὰς ἐν τῷ στόματι σηπεδόνας καὶ οὖλα ἀφεστηκότα. ⳟ Ῥόδων ἄνθους ⸂ δ΄. στυπτηρίας σχιστῆς ⸂ β΄. κηκίδος ⸂ β΄. σμύρνης ⸂ α΄. λεάνας καὶ μέλιτι μίξας χρῶ. πρὸς τὰ δὲ ἐλαφρῶς ἐσχαρώδη ἕλκη ἔμβαλλε στυπτηρίας ⸂ δ΄. σμύρνης τριώβολον, κηκίδων ⸂ α΄. ἄλλο. ὄξους δριμυτάτου ὅσον κοτύλην α΄. λαβοῦσα ἔμβαλλε ἁλὸς τοσοῦτον, ὥστε μηκέτι τήκεσθαι, εἶτα ἔψε ἕως ξηρανθῇ, καὶ λαμβάνουσα ἀπὸ τούτου, ἐπίχεε ὄξους κύαθον α΄. καὶ δίδου διακατέχειν ἐν τῷ στόματι χρόνον ἱκανὸν, εἶτα τὸ δεύτερον, καὶ τοῦτο ποίει τρὶς ἢ τετράκις τῆς ἡμέρας πρὸς τὰ ὑποκείμενα θεωροῦσα. ἐπὶ δὲ τῶν παίδων ἔρια ἐπὶ μηλωτίδι περιτιθεῖσα, καταβάπτουσα τὸν τόπον, διάψα σχηματίζουσα, ὅπως μὴ καταπίῃ αὐτό. ἔνιοι δὲ ξηρῷ τῷ ἁλὶ χρῶνται τρίψαντες μετὰ τοῦ ὄξους καὶ ἀναξηράναντες. ποιεῖ δὲ καὶ στυπτηρία στρογγύλη, ἴσα καὶ σῶρυ. δεῖ
12.959 δὲ καὶ διακλύζεσθαι φακοῦ ἀφεψήματι μέλιτος μιγέντος ὀλίγου ἢ ῥόδων ἀποβρέγματι μετὰ μέλιτος. μὴ κρατουμένης δὲ τῆς σηπεδόνος καίειν κέλευε, τοὺς κύκλῳ τόπους σκεπάσαντα διαφανεῖ καυτηρίῳ, μέχρις ἂν μηδὲν ἀπορρέῃ ὑγρὸν, κεκρατημένος δὲ ὁ τόπος φαίνηται. μετὰ δὲ ταῦτα

διακλύζεσθαι τοῖς εἰρημένοις καὶ τῇ ἀνθηρᾷ δυνάμει χρῆσθαι διὰ μέλιτος, ἕως ἂν περιρραγῶσιν αἱ ἐσχάραι, καὶ τότε δὴ μέλιτι χρῶ. ἄλλη εὐώδης ἁπαλὴ πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή. ϗ πυρῆνος δραχμὰς γ′. ἀμύλου δραχμὰς β′. σχιστῆς ‹ α′. ῥόδων ἄνθους δραχμὴν μίαν, κρόκου τριώβολον σὺν μέλιτι. ταύτην ἐκ τοῦ Κρατίππου νάρθηκος εἶναί φησιν.

Πρὸς γαργαρεῶνας. Σαρκῶδές τι μόριον ἐν τῷ τοῦ στόματος ὑψηλῷ φαίνεται κρεμάμενον, ἐὰν διανοίξας τις ἐπιπλεῖστον ὅλον τὸ στόμα τὴν γλῶτταν καταστείλῃ. τοῦτο τὸ σαρκίον ὀνομάζεται δύο ὀνόμασι πρὸς τῶν παλαιῶν Ἑλλήνων, γαργαρεών τε καὶ κίων, οἱ δὲ μετὰ τούτους ἰατροὶ
12.960 σχεδὸν ἅπαντες οὐχ οὕτως, ἀλλὰ κιονίδα καλοῦσιν αὐτό. τῶν γὰρ σταφυλὴν ὀνομαζόντων αὐτὸ βέλτιόν ἐστι μηδ’ ὅλως μνημονεύειν, οὐ γὰρ τὸ μόριον, ἀλλ’ ἕν τι τῶν παθῶν αὐτοῦ σταφυλὴν ὀνομάζομεν. ὀλιγάκις οὖν τοῦτο τὸ πάθημα γίνεται κατὰ τὸν κίονα, φλεγμαίνει δὲ πάνυ πολλάκις, καὶ δηλονότι καθάπερ ἐν τοῖς ἄλλοις ἅπασιν, ἐν οἷς ἐξ ἐπιρροῆς ὑγρῶν ἡ νόσος, οὕτω καὶ τόδε τὰ πρῶτα τῶν βοηθημάτων ἀναστέλλει τὸ ῥεῦμα. στυπτικῆς οὖν δυνάμεως χρὴ ταῦτα εἶναι· μετρίας μὲν οὔσης τῆς ἐπιρροῆς, μετρίως στυφούσης, ἣν αὐστηρὰν ἰδίως ὀνομάζουσιν· ὅταν δὲ σφοδροτέρα συστῇ, διὰ τῆς στρυφνῆς. ἄμφω μὲν γὰρ στύφουσιν, ἀλλ’ ἀσθενέστερον μὲν αὐστηρά, σφοδρότερον δὲ ἡ στρυφνή. εἴρηνται δὲ ἀμφοτέρων πολλάκις αἱ ὕλαι, ἀλλὰ καὶ νῦν ἀναμνῆσαι βέλτιον, ὅπως ἐπὶ μὲν τῶν μικρῶν φλεγμονῶν τὰς ἀσθενεῖς στύψεις, ἐπὶ δὲ τῶν μεγάλων τὰς σφοδρὰς παραλαμβάνητε, διακλύσματα μὲν γὰρ σύμμετρα τά τε τῶν φοινίκων ἐστὶν ἢ φοινικοβαλάνων ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν, ἀφεψημένων ποτὲ μὲν ὕδατι μόνῳ, ποτὲ δὲ καὶ
12.961 βραχέος μέλιτος ἐμβεβλημένου. παραπλησίως δὲ τούτῳ καὶ τὸ διὰ ῥόδων, ἐλίκων τε ἀμπέλων καὶ βάτου καὶ κυνοσβάτου καὶ σχίνου καὶ κισσοῦ καὶ κύπρου καὶ τερεβινθίνης καὶ ῥάμνου καὶ ἀσπαλάθου καὶ κυπέρου καὶ κυτίνου καὶ τῶν καλουμένων κερατίων καὶ μορέας ῥιζῶν. ὑποκυστίδος τε καὶ μήλων αὐστηρῶν ἢ στρυφνῶν ἀπίων τῶν τε καλουμένων ὄων, ἅπερ οὖα καλοῦσιν οἱ πολλοί, προστιθέντες κατὰ τὴν πρώτην συλλαβὴν τοῦ ὀνόματος τὸ υ, ὡς εἶναι τρία γράμματα τοῦ ὀνόματος τὰ πάντα, τό τε ο καὶ τὸ υ καὶ τὸ α, κατὰ δὲ τοὺς Ἑλληνίζοντας τό τε ο καὶ τὸ α. τούτων δὲ ἰσχυρότερα τό τε τῆς μυρσίνης καὶ τὸ τῶν μύρτων ἐστὶν ἀφέψημα καὶ

τὸ τῶν στρυφνῶν κυδωνίων μήλων, ἀκρεμόνων τε τῶν μαλακῶν, πρίνου καὶ κομάρου καὶ σμίλακος καὶ φηγοῦ καὶ τῶν βαλάνων αὐτῶν, μεσπίλων τε καὶ κράνων καὶ μεμαικύλου καρποῦ. γενναιότατα δὲ κηκίδων καὶ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα καὶ τῆς βυρσοδεψικῆς καὶ μυρίκης καρποῦ καὶ τῆς ἀκάνθης τῆς Αἰγυπτίας ὀνομαζομένης, ὁμοίως τοῦ καρποῦ. τούτων ἑκάστου κατὰ μόνας καὶ σὺν ἄλλοις ἑψηθέντων ἀνακογχυλίζεσθαι χρὴ τῷ ὕδατι. θαυμαστὸν γὰρ ὅπως αἱ μίξεις αὐτῶν
12.962 ὠφελιμώτεραι πολλάκις γίνονται τῆς τῶν ἁπλῶν χρήσεως. ξηροῖς δὲ λειωθεῖσι προσάπτεσθαι τοῦ γαργαρεῶνος, ἀτρέμα πως ἀνάγοντα πρός τε τὴν ἄνω χώραν καὶ τὴν ἐκτὸς, ὡς ἐπὶ τὴν γλῶτταν. ἐμβεβλήσθω δὲ κοχλιαρίῳ λειούμενα τὰ ξηρὰ φάρμακα καὶ βέλτιον, εἰ κατὰ τὸ πέρας εἰς ἐγκαρσίαν τομὴν ἢ εὐθεῖαν εἴη τελευτῶν τὸ κοχλιάριον. καὶ τούτων δὲ αὐτῶν μέτρια μέν ἐστι τὰ ξηρὰ ῥόδα καὶ τὸ ἄνθος αὐτῶν ἀκρέμονές τε ξηρανθέντες, ὧν ἄρτι διῆλθον φυτῶν, ὑποκυστίς τε καὶ ῥῆον, ὅ τε τῶν σκυτέων λίθος, ᾧ λαμπρύνουσι τὰ τῶν γυναικῶν ὑποδήματα, καλεῖται δὲ ἀγήρατος, ἀλόη τε καὶ κύπρος, ἄνθος τε σχίνου καὶ ῥίζα νάρδου τῆς Ἰνδικῆς καὶ τῆς παρ᾽ ἡμῖν ὀρείας. ἰσχυρότερον δὲ τούτων, ἀλλὰ χωρὶς τοῦ τραχύνειν ἐπιφανῶς στύφει τῆς Αἰγυπτίας ἀκάνθης ὁ καρπὸς, ῥῆόν τε καὶ τὸ διφρυγὲς ὀνομαζόμενον, ὅ τε τοῖς ὄψοις ἐπιβαλλόμενος ῥοῦς τά τε στρυφνὰ βαλαύστιόν τε καὶ κύτινοι καὶ σίδια καὶ κηκὶς, καὶ μᾶλλον ὅταν ἀκριβῶς ὀμφακῖτις εἴη. στύφουσι δ᾽ ἀκριβῶς καὶ αἱ στυπτηρίαι πᾶσαι, λεπτομερεστέρα δὲ αὐτῶν οὖσα ἡ σχιστὴ καὶ χρησιμωτέρα ἐστὶν
12.963 αὐτῶν. χάλκανθος δὲ σφοδροτάτην ἔχων στύψιν οὐκ ἀπήλλακται τοῦ θερμαίνειν, καὶ διὰ τοῦτο τοῖς σηπεδονώδεσιν ἕλκεσιν ἁρμόττει, ὅμως δὲ παροξύνει γαργαρεῶνα, κᾂν ἤδη ᾖ σκιρρώδης. οἱ χυλοὶ δὲ στύφοντες ἁπάντων τῶν εἰρημένων φυτῶν εἰσι καὶ τῶν καρπῶν αὐτῶν ὡσαύτως. εἴρηται δὲ περὶ αὐτῶν ἐν ταῖς διαχρίστοις στοματικαῖς, ὧν αἱ μὲν διὰ γλεύκους, αἱ δὲ διὰ μέλιτος μίξεως σκευάζονται. διαφθείρονται γὰρ οἱ χυλοὶ τοὐπίπαν, ἄνευ μέλιτος ἀποτεθέντες, ἢ πάλιν ἀποξηραίνονται μέχρι πλείονος ἑψηθέντες. ἔνιοι δὲ χυλοὶ, κᾂν ἐν ἡλίῳ θερινῷ ξηρανθῶσιν ἄχρι συμμέτρου πάχους, ἐν τῷ χρόνῳ ξηραίνονται, καὶ ἄν γε πλειόνων ἐτῶν γεννηθῶσιν, εἰς τοσοῦτον ἥκουσι ξηρότητος, ὡς λειοῦσθαι δύνασθαι παραπλησίως κυτίνοις καὶ βαλαυστίῳ. τοιοῦτοι δέ

εἰσιν ὅ τε τῆς ὑποκυστίδος χυλὸς καὶ ὁ τῆς ὄμφακος καὶ τῆς γλυκυρρίζης καὶ ὁ τοῦ κενταυρίου καὶ καθόλου φάναι πάντες οἱ χυλοὶ, κᾆν χωρὶς μέλιτος ἐπιπλέον ἑψηθῶσιν, οὐ διαφθείρονται μὲν, ἐν τῷ χρόνῳ δὲ γίνονται ξηροὶ, τινὲς μὲν, ὡς ἔφην, λειοῦσθαι δυνάμενοι, τινὲς δὲ ὅσοι τὸ
12.964 γλίσχρον ἔχουσι φύσει πλατύνονται μᾶλλον ἢ λειοῦνται. ἁπλᾶ μὲν οὖν ταῦτα χρήσιμα, σύνθετα δὲ ἐξ αὐτῶν κατὰ τρεῖς χρείας γίνονται, μίαν μὲν ἐκ τῶν ὁμογενῶν, ὅταν τῷ σφοδρῷ τὸ μαλακὸν μίξομεν, ἀποροῦντες τοῦ μέσου, ῥόδων ἄνθος ἢ αὐτὰ τὰ ῥόδα μετὰ κηκίδος ἢ στυπτηρίας λειώσαντες, ἕκαστόν τε τῶν εἰρημένων ἔμπροσθεν πραέων φαρμάκων τῷ σφοδρῷ συμπλέξαντες. ἔσται γὰρ ἀριθμὸς οὐκ ὀλίγος κατὰ τὴν τῶν τοιούτων ὑπάλλαξιν, ἀλλὰ καὶ κατ᾽ αὐτὴν τὴν ἐκ δυοῖν τινων μίξιν ἔσται πλείω φάρμακα, κατ᾽ ἄλλην ἄλλου ποσότητα μιγνυμένων αὐτῶν, οἷον εἰ διαπλάσιον εἴη τὸ τῶν ῥόδων ἄνθος τῆς στυπτηρίας ἢ τοὐναντίον τοῦδε, διπλασία τοῦ ῥόδων ἄνθους ἡ στυπτηρία. δύναιτο δ᾽ ἄν τι διπλάσιον, ἀλλὰ καὶ τριπλάσιον καὶ τετραπλάσιον, ἑκάτερον ἑκατέρῳ μίγνυσθαι. πρόδηλον δ᾽ ὅτι καὶ ἴσον ἴσῳ. τοῦτο μὲν οὖν μέσον ἂν εἴη τῶν ἄκρων, τὰ δ᾽ ἄλλα πάντα τινὰ μὲν ἐγγυτέρω τοῦ μαλακωτέρου τὰ πλέον ἔχοντα τῶν ῥόδων, τὰ δὲ τοῦ σφοδροτάτου τὰ πλέον ἔχοντα τῆς στυπτηρίας. ἑκατέρων δ᾽ αὐτῶν οὐκ ἄδηλον τὸ μᾶλλον καὶ ἧττον. ὄντων γὰρ δυοῖν
12.965 φαρμάκων, ἰσχυρὸν μὲν ἐν οἷς πλείων ἐστὶν ἡ στυπτηρία τῶν ῥόδων, ἰσχυρότατον δ᾽ ἐστὶ καθὸ τριπλασία τῶν ῥόδων ἡ στυπτηρία περιέχεται τοῦ διπλάσιον ἔχοντος φαρμάκου. ὅπερ οὖν ἀεὶ λέγοντος ἀκούετέ μου καὶ νῦν ἐρῶ. μωρίζουσιν οἱ ζητοῦντες ὁποῖόν ἐστι τὸ κρεῖττον ἐπὶ δυοῖν ὁμογενῶν φαρμάκων ἢ τὸ κάλλιστον ἁπάντων αὐτῶν. ὥσπερ εἰ ζητοίης γε εἰ χόνδρον ἄμεινον ἢ πτισάνην διδόναι τοῖς νοσοῦσιν, ἢ πότερον οἶνον ἢ ὀξύμελι ἢ τῶν καθαιρόντων φαρμάκων. ἆρά γε βελτίων ἐστὶν ἑλλέβορος λευκὸς ἢ μέλας ἢ καθόλου περὶ πάντων τῶν βοηθημάτων τί κάλλιστόν ἐστιν. ἅπαντα γὰρ ἐν τῷ πρός τι τό γε ὠφελεῖν ἔχει καὶ τὸ βλάπτειν, καὶ τοῦτο Ἱπποκράτους εἰπόντος, ὧν οἶδα πρώτου πάντων οἱ μετ᾽ αὐτὸν ἠκολούθησαν. ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν, ὥσπερ ἄλλα πολλὰ φλυαροῦσιν, οὕτω καὶ τὰ τοιαῦτα. τεθέασθε δὲ πολλάκις ἔργῳ τοῦ λεγομένου τὴν ἀλήθειαν. ἀκαίρως γοῦν ἔνιοι χρησάμενοι φαρμάκοις οἷς
12.966 εἶχον, εἶτ᾽ ἐκ τοῦ παροξῦναι τὸ πάθος ἐφ᾽ ἕτερα μεταβάντες ἄνευ

μεθόδου καὶ μηδὲν τούτοις ἀνύσαντες τὴν τρίτην ἐφεξῆς ἐφ᾽ ἕτερα μετάβασιν, ἔστι δ᾽ ὅτε καὶ τετάρτην ἀλόγως ποιήσαντες καὶ νομίσαντες τὸ πάθος εἶναι κακόηθες, ἐκάλεσάν με συμβουλεῦσαί τι. κᾀγὼ κελεύσας αὐτοὺς ἃ κέκτηνται φάρμακα δεῖξαί μοι τὸ συμφέρον τῇ παρούσῃ καταστάσει συνεβούλευον. καὶ φάντων αὐτῶν δι᾽ οὗ συνεβούλευσα φαρμάκου παροξυνθῆναι τὸν κάμνοντα καὶ διὰ τοῦτο χρῆσθαι δεδιότων, ἀλλὰ νῦν γε πεισθέντας ἐμοὶ χρήσασθαι προτρέψας, ἐπέδειξα κᾀκείνοις καὶ ὑμῖν ἑκάτερον ὧν ἔλεγεν Ἡρόφιλος, ἀληθὲς ὑπάρχον. ἐάν τε γὰρ εἴπῃς οὐδὲν εἶναι τὰ φάρμακα μόνα καθ᾽ αὑτὰ, προσηκόντως ἐρεῖς, οὐδὲν γάρ ἐστιν, ἐὰν μὴ τὸν χρώμενον ὀρθῶς σχῇ, ἐάν τε πάλιν οἷόν περ θεῶν χεῖρας εἶναι τὰ φάρμακα, καὶ τοῦτο ὀρθῶς ἐρεῖς. ἀνύει γὰρ μεγάλα τὸν χρώμενον αὐτοῖς ἔχοντα γεγυμνασμένον ἐν λογικῇ μεθόδῳ μετὰ τοῦ καὶ συνετὸν εἶναι φύσει. τινὲς γὰρ οὐ μόνον βελτίους ὄντες ἀμφισβητοῦσι
12.967 περὶ σοφίας τοῖς συνετωτάτοις. ἡ μὲν οὖν τῶν ὁμογενῶν φαρμάκων μίξις ἕνεκα τῆς τῶν μεταξὺ χρείας γίνεται, καὶ διὰ τοῦτο ἀεὶ δύο ἔχειν ὑμᾶς ἐναντία ταῖς δυνάμεσιν ἐφ᾽ ἑκάστου πάθους ἀξιῶ. μιγνύντες γὰρ αὐτὰ παμπόλλων τῶν μεταξὺ φαρμάκων εὐπορήσετε. μία μὲν οὖν αἰτία τῆς τῶν ὁμογενῶν φαρμάκων μίξεως ἥδε καὶ δὴ λέλεκται· μία δὲ ἄλλη τῆς τῶν ἑτερογενῶν ἐκ τοιούτου γίνεται λογισμοῦ. σπανίως ἂν εὕροι τις διάθεσιν ἤτοι διαφορούντων μόνον ἢ ἀποκρουομένων δεομένην. αἱ μὲν γὰρ μικραὶ, καθ᾽ ὧν οὐδὲ τὸ τῆς διαθέσεως ὄνομα προφέρουσιν οἱ ἰατροὶ, παραχρῆμα καθίστανται· μείζονα δ᾽ ὑπόθεσιν ἔχοντος τοῦ γεννωμένου πάθους ἀδύνατόν ἐστι διὰ τῶν ἀποκρουομένων αὐτὸ τελέως ἰᾶσθαι, καὶ μάλισθ᾽ ὅταν ᾖ τὸ τοῦ κάμνοντος σῶμα πολύχυμον ἢ τὸ πεπονθὸς μόριον ἄρρωστον φύσει. διὰ τοῦτο οὖν ἀναγκαζόμεθα πολλάκις μὲν εὐθέως ἐν ἀρχῇ, πολλάκις δὲ ὀλίγον ὕστερον μιγνύναι τι τῶν διαφορητικῶν. ἢν δ᾽ ὀδύνη συνείη σφοδρὰ καὶ τῶν παρηγορικῶν· χρεία τοίνυν ἐστὶ τηνικαῦτα
12.968 τῶν εἰρημένων φαρμάκων ἑκάστῳ μεμίχθαι τε τῶν διαφορητικῶν. ὄντων δὲ καὶ τούτων παμπόλλων, ἀπὸ τῶν μαλακωτέρων ἄρχεσθαι χρὴ, παροξύνεται γὰρ ὑπὸ τῶν δριμέων τὰ φλεγμαίνοντα. διὰ τοῦτο οὖν ἐγένοντο σύνθετα φάρμακα πρός τε τὰς τῶν ἄλλων μορίων φλεγμονὰς καὶ πρὸς τὰς τοῦ γαργαρεῶνος, οἷον ὅταν τῇ στυπτηρίᾳ μίξωμεν ἶριν Ἰλλυρικὴν ἢ τὸ τῶν ὀρόβων ἄλευρον ἢ λιβανωτὸν ἢ σμύρνην. ὄντων δὲ

καὶ τῶν στυφόντων πολλῶν καὶ τῶν ἀδήκτως διαφορούντων οὐκ ὀλίγων ἡ ποικιλία τῶν πρὸς τοὺς φλεγμαίνοντας κίονας ἁρμοττόντων φαρμάκων εἰκότως ἐγένετο παμπόλλη. σὺ δὲ θεασάμενος ὅπως ἔχῃ μεγέθους τε καὶ θερμότητος ἡ φλεγμονὴ τό τε ἀπορρέον αὐτῆς ὁπόσον ἐστὶ κατασκεψάμενος, ἔτι τε τὴν ποσότητα τῶν ἐν τῷ σώματι χυμῶν στοχασάμενος ἢ τῷ τοῖς στύφουσιν ἢ τῷ τοῖς διαφοροῦσιν ἐπικρατουμένῳ φαρμάκῳ χρήσῃ. παραγράψω δὴ πάλιν κἀνταῦθα φάρμακα τὰ τοῖς ἐμπειροτάτοις γραφέντα τὰ μὲν ἅμα τοῖς οἰκείοις
12.969 διορισμοῖς, οὐκ ὀλίγα δὲ καὶ χωρὶς τῶν διορισμῶν, ἐφ᾽ ὧν ἐγὼ προσθήσω καθάπερ ἐπὶ τῶν ἄλλων, ὅσα πρόσθεν ἔγραψα, τοὺς οἰκείους διορισμούς.

Περὶ τῶν ὑπ᾽ Ἀρχιγένους γεγραμμένων πρὸς τοὺς φλεγμαίνοντας γαργαρεῶνας. Περὶ τοῦ προκειμένου παθήματος οὕτως ἔγραψεν Ἀρχιγένης τὸ πρῶτον τῶν φαρμάκων. σταφυλῆς δὲ χαλασθείσης προσάπτου ὀπῷ λείῳ ἢ κηκίδι λείᾳ μετὰ ἁλῶν, ἢ αὐτοῖς ἁλσὶ διαλύτοις, ἢ λυκίου ῥίζῃ λείᾳ ἢ ὀμφακίῳ μετὰ μέλιτος. εἰ δὲ εὔτονον ἐθέλοις, χαλκάνθου, λεπίδος, σχιστῆς, μίσυος, σμύρνης, κηκίδος ἴσα λεῖα, οἴνῳ ἀναλαβὼν χρῖε. εἰ ταυτὶ μόνα γράψας ὁ Ἀρχιγένης ἐπαύσατο, τελέως ἂν ἐμεμψάμην χωρὶς διορισμοῦ γράψαντι φάρμακα δυνάμεως ἐναντιωτάτης. ἐπεὶ δὲ διὰ τῶν ἑξῆς γεγραμμένων ἐπανορθοῖ, καὶ αὐτὸ τούτων ἀδιόριστον ὀρθῶς ἐποίησεν. ὅτι δὲ ἀδιορίστως εἴρηται ταῦτα μαθεῖν πάρεστιν ἐντεῦθεν. σταφυλῆς, φησὶ, χαλασθείσης προσάπτου ὀπῷ λείῳ. ἔδει μὲν οὖν κἀνταῦθα προστεθεικέναι ποίῳ φησὶν ὀπῷ, ἀλλ᾽ ἐπεὶ
12.970 πᾶσιν ἤδη πεπίστευται τὸν Κυρηναϊκὸν ὀπὸν ἄριστα ποιεῖν πρὸς τὰς φλεγμονὰς τοῦ κίονος, οὐ προσέθηκε τοῦ Κυρηναίου. κατὰ τοῦτο μὲν οὖν καί τις αὐτῷ μέμψαιτο. καθ᾽ ὅσον δὲ δριμύτατον καὶ θερμαντικώτατον φάρμακον τὸν Κυρηναϊκὸν ὀπὸν μετὰ τῶν ἐναντίων ἔγραψε, μὴ προσθεὶς διορισμὸν μηδὲ δηλώσας πότε μὲν τῷ ὀπῷ χρῆσθαι προσήκει, πότε δὲ τοῖς στυπτικοῖς φαρμάκοις, κατὰ τοῦτο κακῶς ἐποίησε. χάλκανθον γὰρ καὶ λεπίδα χαλκοῦ καὶ τὴν σχιστὴν, δῆλον δὲ ὅτι μὲν στυπτηρίαν λέγει καὶ μίσυ καὶ κηκίδα, πάντα ἴσα λειοῦν ἐν οἴνῳ κελεύσας, προσμίξας δὲ αὐτοῖς καὶ σμύρνης ἴσον τῷ συντεθέντι φαρμάκῳ χρίει τὴν σταφυλὴν, ἰσχυροτάτῳ δηλονότι κατὰ τὴν στύψιν ὑπάρχοντι. παρεμυθήσατο δὲ τὸ τῆς γραφῆς ἀδιόριστον, προσγράψας τῷ περὶ τοῦ φαρμάκου λόγῳ τὴν

λέξιν ταύτην. εἰ δ' εὔτονον ἐθέλοις, ὡς γὰρ ἐπισταμένοις ἡμῖν πότε τοῖς εὐτόνοις ἐστὶ χρηστέον, οὕτως ἔγραψε καὶ τοῦτο. μικτὸν δὲ φάρμακον ἐν οἷς ἔγραφεν ἔστιν ἡ κηκὶς μεθ' ἁλῶν, αὐτὴ μὲν στύφουσα σφοδρῶς, οἱ δ' ἅλες διαφοροῦντες μετά τινος βραχείας στύψεως. ἰδίᾳ δὲ τοῖς ἁλσὶν οὐκ
12.971 ἄν τις χρήσαιτο κατ' ἀρχὰς, ὥσπερ οὐδὲ τῷ ὀπῷ, ἀλλ' ἐπὶ σκιρρουμένης ἤδη καὶ χρονιζούσης τῆς φλεγμονῆς τοῦ κίονος. αὐτὸς δὲ οὐ κίονος ἔγραψεν, ἀλλὰ σταφυλῆς χαλασθείσης, ὁμοίως τοῖς πολλοῖς ἡγούμενος τὴν φλεγμονὴν τοῦ κίονος σταφυλὴν ὀνομάζεσθαι καὶ τί θαυμαστὸν ὅπου καὶ τῶν καθ' ἡμᾶς τις ἐπ' Ἀττικισμῷ σεμνυνόμενος, ὡς τὸ μόριον αὐτὸ σταφυλὴν ὀνομάζεσθαι. πλέον γὰρ αὐτὸς ἠγνόει τοῦ Ἀρχιγένους, καίτοι παρά τε τοῖς ἄλλοις παλαιοῖς εὐπορηκὼς τὴν χρῆσιν τῆς προσηγορίας καὶ παρὰ τῷ Ἱπποκράτει κατὰ τὸ προγνωστικὸν ἐν τῇδε τῇ λέξει. οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτέμνεσθαι καὶ διακαίεσθαι καὶ ἀποσχάζεσθαι, ἔστ' ἂν ἐρυθροὶ ὦσι καὶ μεγάλοι. καὶ γὰρ φλεγμονὴ ἐπιγίνεται τουτέοισι καὶ αἱμορραγία. ἀλλὰ χρὴ τὰ τοιαῦτα ἄλλοις μηχανήμασι πειρᾶσθαι κατισχναίνειν ἐν τούτῳ τῷ χρόνῳ. ταῦτα προειπὼν ὁ Ἱπποκράτης φησὶν ἐφεξῆς· ὅταν δὲ ἀποκριθείη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ πελιὸν, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς
12.972 διαχειρίζειν. ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην τῇ χειρουργίῃ χρῆσθαι, ἢν ὅ τε χρόνος ἐγχωρέῃ καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος. ἔτι δὲ σαφέστερον ὁ Διοκλῆς ἡρμήνευκεν ὁποῖόν ἐστι πάθος ἡ καλουμένη σταφυλὴ καὶ μετὰ τοῦτον Πραξαγόρας καὶ Μαντίας καὶ ὅσοι τὰ συνεδρεύοντα τοῖς πάθεσιν ἔγραψαν. ἔνιοι δὲ καὶ διὰ τοῦτο σταφυλὴν εἶπον κεκλῆσθαι τὸ πάθος, ὅτι ῥαγὶ σταφυλῆς ἔοικε τὸ ἄκρον τοῦ γαργαρεῶνος. τὰ δὲ ἐφεξῆς ὑπὸ τοῦ Ἀρχιγένους γεγραμμένα καλῶς εἴρηται, καὶ διορισμοὺς τῆς χρήσεως αὐτῶν προσγράψαντος. ἔχει δὲ ἡ λέξις οὕτω.

Κοινὸν φάρμακον κίονος καὶ παρισθμίων. Κοινῶς δὲ ἐπὶ τῶν κατὰ παρίσθμια ἢ τὸν κίονα φλεγμονῶν ἢ ἑλκώσεων ἀρχομένων μὲν εὐθὺς ἁρμόδιος ἡσυχία, ἀσιτία καὶ ἀκόλουθος δίαιτα. ἀναγαργαρίσματα δὲ ἁπλᾶ ἡσυχῇ στύφοντα, ὀξύκρατον ὑδαρὲς χλιαρὸν ἢ μελίκρατον ἢ φοινικοβαλάνων ἢ ἑλίκων ἀμπέλου ἢ μήλων κυδωνίων ἢ μεσπίλων ἢ

ἀχράδων ἢ ῥόδων ἀφεψήματος, μιγνυμένου μετὰ τῶν ἀφεψημένων
12.973 αὐστηρῶν μέλιτος ὀλίγου. καλῶς ἐνταῦθα προσέγραψε τοῖς αὐστηροῖς χρῆσθαι, μιγνύναι δὲ μέλιτος ὀλίγου. μικρὸν δ' ἔμπροσθεν αὐτῷ καθ' αὐτὸ τῷ μελικράτῳ κελεύσας χρῆσθαι κατὰ τὴν ἀρχὴν τῶν φλεγμονῶν οὐκ ὀρθῶς ἐποίησε. οὐδὲν γὰρ ἔχει στυπτικὸν τὸ μελίκρατον, ἀλλὰ κυριώτατον μὲν αὐτὸ ἄν τις ῥυπτικὸν εἴποι, σὺν τούτῳ δὲ καὶ διαφορητικὸν λέγων, οὐκ ἂν ἁμάρτοι. τὰ δ' οὖν ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένα καλῶς εἴρηται κατὰ λέξιν οὕτως ἔχοντα. ποιεῖ καὶ ἀκακίας χυλὸς ὕδατι ἀνεθείς. διαχριστέον δὲ ταῖς παραπλησίαις τῶν στοματικῶν, οἷον καὶ ἡ διὰ μόρων λιτὴ καὶ ῥοὸς Συριακῆς καὶ βυρσοδεψικῆς ἀποβρέγματι ἐψηθέντι μέχρι συστῇ, μέλι προσμίξας χρῶ. ἢ ῥοιῶν γλυκειῶν καὶ ὀξειῶν χυλὸν καθεψήσας μέχρι μέλιτος πάχος σχῇ, χρῶ. ἢ σταφυλῆς ὄμφακος ἐκπιέσματα αὐτὸς σκευάσας χρῶ. ἢ βάτου ἢ σχίνου ἢ τερμινθίνου ἢ σμύρνης ἢ ῥόδων χυλῷ μετὰ μέλιτος χρῶ. καὶ μετὰ ταῦτα δὲ καταπλάσσειν ἔξωθεν, σχιστὴν μετ' ἀλόης τοῦ ἡμίσεος καὶ ὀλίγης ἀκακίας, σὺν χυλῷ στρύχνου, συμβουλεύσας ἐπιφέρει κατὰ λέξιν οὕτως.
12.974 ἐπιμενούσης δὲ τῆς φλεγμονῆς ἀναγαργαριζέσθω ὄξει χλιαρῷ ἰδίᾳ, ἢ κηκίδος λείας προσμιγείσης ἢ βάτου ἢ ἀγριελαίου ῥίζης, ἢ κυπέρου ἀφεψήματι μετὰ μέλιτος, ἢ γλυκεῖ μεθ' ὕδατος, ἢ συκίτῃ θερμῷ, ἢ μαλάχης ἀφεψήματι. πρόδηλον μὲν ὅτι κοινὰ ταῦτα βοηθήματα, καθότι προείρηται, τοῦ τε κίονός ἐστι καὶ τῶν παρισθμίων. οὐκ ὀρθῶς δέ μοι δοκεῖ τῷ γλυκεῖ μεθ' ὕδατος θαρρεῖν, ἀσθενεῖ πρὸς τὰ τοιαῦτα φαρμάκῳ. καθάπερ καὶ τῷ συκίτῃ καὶ τῷ τῆς μαλάχης ἀφεψήματι, πρὶν ἢ πρὸς διαπύησιν ἀφίκοιτο τὸ πάθος, ἐχρῆν δὲ τοῦτον αὐτὸ τοῦτο δεδηλωκέναι. συνάπτων δὲ τοῖς προειρημένοις ὁ Ἀρχιγένης ὠδί πως ἔγραψεν. διάχριε δὲ καὶ τοῖς ἀνωτέρω πρὸς τὰ ἐν τοῖς ῥώθωσιν ἑλκύδρια μεταγραφεῖσιν. ἰδίως δὲ πίσσῃ σὺν ἐλαίῳ ἢ μέλιτι. ἢ κροκόμαγμα μετ' ὀλίγης κηκίδος σὺν μέλιτι ἢ στυπτηρία στρογγύλη μετὰ ῥόδων ἄνθους λελειωμένη ἢ ῥόδα ξηρὰ ἢ τὸ ἄνθος αὐτῶν λεῖα προσέμπασσε ἢ ἐμφύσα εἴς τε τὰ παρίσθμια καὶ τὴν σταφυλήν. ἢ κυπέρου ῥίζαν ἢ μυρσίνην ἢ σχῖνον ἢ βάτον ἢ κηκίδα ἢ ἄλας λεπτοὺς ὁμοίως ἔμπαττε, ἢ ὀμφακίνῳ ἢ σχίνῳ
12.975 μετὰ μέλιτος διάχριε, ἢ ῥόδων ἄνθος ἢ κρόκον μετὰ ῥοιᾶς χυλοῦ. ἐνταῦθα πάλιν ἔμιξε τὴν στυπτικὴν ἀγωγὴν τῇ διαφορητικῇ χωρὶς

διορισμῶν. οὐδὲν γὰρ ὅμοιον ἐμπάττειν ἅλας λεπτοὺς ἢ ῥόδα ξηρὰ καὶ τὸ ἄνθος αὐτῶν, ἢ πίσσῃ σὺν ἐλαίῳ χρῆσθαι, θερμαντικῷ τε καὶ διαφορητικῷ φαρμάκῳ, ἢ κηκίδι καὶ στυπτηρίᾳ, στυπτικωτάτοις φαρμάκοις. χρονιζούσης μὲν γὰρ καὶ σκιρρουμένης τῆς φλεγμονῆς καλῶς ἄν τις ὑγρὰν πίτταν προσφέρῃ ἢ τὴν ξηρὰν ἐλαίῳ τήξας. τηνικαῦτα δὲ καὶ οἱ ἅλες χρήσιμοι προκεκενωμένου δηλονότι τοῦ σώματος, ἀρχομένου δὲ ἢ αὐξανομένου καὶ μετὰ θερμότητος πολλῆς ἀκμάζοντος, ἐναντιώτατον βοήθημα ἔλαιον καὶ ἡ πίττα. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ οἱ ἅλες. ἐφεξῆς δὲ καλῶς ἔγραψεν ὁ Ἀρχιγένης ἐπ᾽ ἀκμάζοντος τοῦ πάθους βοηθήματα, δηλοῖ δὲ ἐκ τούτου αὐξανόμενον καὶ μηδὲν ὠφελούμενον ὑπὸ τῶν προγεγραμμένων. ἔχει δὲ ἡ λέξις αὐτοῦ κατὰ τόνδε τὸν τρόπον· εἰ δ᾽ ἐπακμάζοι τὸ πάθος ἢ κοιλία ὑποσυρέσθω ἢ ἀναγαργαριζέσθωσαν πιτύρων πλύμματι θερμῷ, ἢ πτισάνης χυλῷ ἢ γλυκεῖ χλιαρῷ ἢ ἀφεψήματι γλυκείας ῥίζης μετὰ γλυκέος καὶ ὑσσώπου ἢ
12.976 σύκων οἴνῳ ἀφεψημένων ἢ πτισάνης χυλῷ, ἐναφεψημένων αὐτῷ σταφίδων. ὠφελοῦνται δὲ μεγάλως, ἐὰν ἀμυγδάλινον ἔλαιον εἰς τὰ ὦτα ἐγχέῃς, ἔξωθέν τε πυριατέον πραέως σπόγγοις ἀποτεθλιμμένοις καὶ ὠμὴν λύσιν ἐπιθετέον, τὴν διὰ κριθίνου ἀλεύρου ἢ διὰ λινοσπέρμου ἢ τήλεως, ἢ καὶ σμῆγμα ἐκ τούτων. ἐὰν μὲν οὖν πρὸς διαπύησιν φαίνηται ὄντα τὰ παρίσθμια, συνεργητέον τῷ σύκων ἀφεψήματι συνεχῶς καὶ μονονουχὶ ἀδιαλείπτως διδόντας ἀναγαργαρίζεσθαι ἢ τῷ μελικράτῳ θερμῷ ὁμοίως. εἰ δὲ μηδὲν ὑποφαίνοιτο τοιοῦτον, ἐπιτείνοιντο δὲ καὶ δυσκατάποτοι, ἐν ἀρχῇ τε πνιγμοῦ ὑποπτεύοιντο εἶναι, τήν τε κοιλίαν εὐτόνῳ κλυστῆρι ἢ βαλάνῳ ὑπακτέον ἢ φλεβοτομητέον ἀπ᾽ ἀγκῶνος, σικύας τε κατὰ τοῦ τραχήλου καὶ ἀνθερεῶνος κολλητέον μετὰ ἀμύξεως, πυρίαις τε καὶ καταπλάσμασι συνεχέστερον καὶ εὐτονώτερον χρησόμεθα καὶ τοῖς ἀναγαργαρίσμασι συνεχῶς. εἰ δὲ πρὸς μηδὲν τούτων εἴκοι, ἐπιτείνοιτο δὲ, τάς τε ὑπὸ τὴν γλῶτταν φλέβας τμητέον ἢ τὰς ἐγκανθίδας τε ἢ καὶ τὴν ἐν μετώπῳ. διαχρηστέον δὲ αὐτοὺς συνεχῶς χολῇ ταυρείᾳ
12.977 καὶ ἐλατηρίῳ ὁμοῦ μετὰ μέλιτος ἢ ἁλσὶ σὺν ἐλαίῳ παλαιῷ μετὰ μέλιτος καὶ ὄξους ἢ κενταυρίῳ μετὰ μέλιτος ἢ ἀψινθίῳ μετὰ νίτρου καὶ μέλιτος, ἢ χελιδόνας ὅλας σὺν τοῖς πτεροῖς καύσας καὶ λεάνας σὺν μέλιτι κατάχριε. φασὶ δ᾽ ἔνιοι καὶ ἄκρως ποιεῖν χελιδόνος νεοττοὺς τοὺς

λιπαροὺς λίαν προσφάτους, εἴτε τεταριχευμένους ὀπτοὺς καὶ διδομένους αὐτοῖς φαγεῖν, εὐθέως γὰρ κουφίζουσι τὸν πνιγμόν. ἐὰν δὲ παῖδες ἢ πρεσβῦται ὦσι, θεῖον καὶ ἴριν μετὰ μέλιτος δὸς ἐκλείχειν· ὅτι ταῦτα κοινὰ περὶ ἀμφοτέρων, ὥσπερ ἐν ἀρχῇ προεῖπεν, σταφυλῆς τε καὶ παρισθμίων ἐστὶν ἰάματα, δῆλον ἐποίησεν καὶ ἐξ ὧν ἐπιφέρων φησίν. ἔνιοι δὲ τοῖς συναγχικοῖς ἢ κυναγχικοῖς ἐλατηρίου ἢ χολῆς ταυρείας ἀνὰ β′. ὀβολοὺς μετὰ χλιαροῦ μελικράτου διδόασι πίνειν. τινὲς δὲ ὄνους τοὺς ὑπὸ τὰς ὑδρίας ποτίζουσι σὺν ὕδατι, ἢ ἐκλείχειν διδόασιν ἢ διαχρίουσι τὰ ἀλγοῦντα καὶ λίαν μαρτυροῦσιν ὠφελεῖσθαι. καὶ δι’ ἀτμοῦ πυριώμενοι ἔσωθεν τοῦτον τὸν τρόπον, ὀρίγανον ἢ ὕσσωπον ἢ θύμβραν σὺν ἱκανῷ
12.978 ὄξει ζέσας ἐπιμελῶς, ἐν χύτρᾳ περιπεπλασμένῃ, τὸ δὲ πῶμα ἐχέτω κατὰ μέσον τρῆμα, εἶτα κάλαμον τῷ τοῦ πώματος τρήματι, ἕως τοῦ πάσχοντος ἐναρμόσας, ἔα πυριᾶσθαι. ἐὰν δὲ κατακαίηται τὸ στόμα ζέοντος τοῦ καλάμου, ὠὸν κενὸν τετρημένον ἑκατέρωθεν ἐν τῷ στόματι κρατείτωσαν καὶ δι’ αὐτοῦ ὁ κάλαμος διερχέσθω. μαλακωτέρα δὲ ἡ πυρία γίνεται, ἐὰν ἀντὶ τοῦ ὄξους ὕδωρ ᾖ ἔνιοι δὲ νίτρον καὶ ὀρίγανον καὶ καρδάμου σπέρμα καὶ ἔλαιον τετριμμένα ἐν ὀξυκράτῳ μιγνύουσι καὶ ὁμοίως πυριῶσιν. ἢ σποδῷ νεοσσῶν χελιδόνος μήπω ἐπτερωκότων διάχριε, ἢ στρύχνου χυλὸν καὶ βούτυρον ἴσον μετὰ ῥοδίνης κηρωτῆς τῷ ἀνθερεῶνι ἐπιτίθει. τοὺς πνιγομένους πισσαρίῳ μετὰ ὕδατος καὶ νίτρου πότιζε. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν. ἐγὼ δ’ οὐδέποτε ἐπεχείρησα δοῦναι τῶν ἐν ταῖς τοιαύταις διαθέσεσιν οὐδενὶ τῶν πινομένων φαρμάκων, ὁποίων αὐτός τε καὶ ἄλλοι τινὲς μέμνηνται. τοῦτ’ οὖν τὸ ἐπὶ τῷ τέλει τῆς λέξεως τῆς προγεγραμμένης γεγραμμένον κατὰ λέξιν οὕτως τοὺς πνιγομένους πισσαρίῳ καὶ νίτρῳ μετὰ ὕδατος πότιζε. τίνι λόγῳ
12.979 εἴρηται μὴ δυνάμενος ἐμαυτὸν πεῖσαι, ἀλλὰ μηδὲ τῶν διδασκάλων τινὰ μηδὲ ἄλλον χρώμενον ἰδὼν, οὐδ’ αὐτὸς ἐπεχείρησα χρῆσθαι. τὸ μὲν γὰρ φλεβοτομεῖν τοὺς πνιγομένους καὶ τὸ κλύζειν δριμεῖ κλυστῆρι καὶ τὸ καθαρτικὰ διδόναι χάριν τοῦ κενῶσαι τὸ σύμπαν σῶμα καὶ μεταστῆσαι κάτω τὴν ῥοπὴν τῶν ἐπὶ τὰ πεπονθότα μέρη φερομένων χυμῶν, εὔλογόν τέ ἐστι καὶ διὰ πολλῆς πείρας κεκριμένον. ὁμοίως δὲ καὶ τὸ μετὰ τὴν κένωσιν τοῦ παντὸς σώματος καὶ τὴν ἀντίσπασιν τὴν ἐπὶ τὰ κάτω δριμέσι χρῆσθαι φαρμάκοις ἱκανῶς διαφοροῦσιν, εὔλογόν τε ἅμα καὶ τῇ πείρᾳ

μαρτυρούμενον. πίσσαν δὲ μεθ᾽ ὕδατος καὶ νίτρου ποτίζειν οὔτε τινὰ θεασάμενος ἄλλον οὔτε τῷ λόγῳ ποδηγούμενος ἀπεσχόμην.

Ἀπολλωνίου ἐν τῷ πρώτῳ τῶν εὐπορίστων κατὰ λέξιν οὕτω γράψαντος. Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων κατὰ λέξιν οὕτως ἔγραψεν. πρὸς τὰς τῆς κιονίδος φλεγμονὰς διάχριστα. ἁλὶ λείῳ καὶ μέλιτι διαχρίων ἀναστέλλεις τὴν κιονίδα, πίσσῃ διαχρίων ἀναπίεζε τῷ δακτύλῳ, ὀπὸν Κυρηναϊκὸν διεὶς ὕδατι προσάπτου τῆς κιονίδος.
12.980 χαλκίτιδι λείᾳ προσάπτου παραπλησίως. ὀμφακίῳ λείῳ μετὰ μέλιτος χρῶ. ταῦτα μὲν ὁ Ἀπολλώνιος. ἔξεστι δὲ ἡμῖν ὁρᾷν ἐπὶ τῶν ἄνευ διορισμοῦ γεγραμμένων, εἰ μή τις εἰδείη τὰς ἄνευ διορισμοῦ γεγραμμένας δυνάμεις ἑκάστου ἐν τῷ προσήκοντι καιρῷ χρῆσθαι, μεγίστην ἐργάζεται βλάβην. γέγραπται γοῦν ἐνταῦθα πρῶτον μὲν ἁπάντων ἁλὶ λείῳ χρῆσθαι μετὰ μέλιτος, ὕστατον δὲ ὀμφακίῳ μετὰ μέλιτος. ἐναντία δὲ δύναμίς ἐστιν ὀμφακίῳ πρὸς τοὺς ἅλας, ὥστε εἰ χρήσαιτό τις ἐν ἀρχῇ τοῖς ἁλσὶ καὶ μάλιστα πληθωρικοῦ τοῦ σώματος ἢ καὶ τῶν κατὰ τὴν κεφαλὴν ὄντων, ἐσχάτως βλάψει τὸν πάσχοντα. τὸ δὲ ὀμφάκιον ἐν ἀρχῇ χρησιμώτατόν ἐστιν, οὐχ ἕλκον οὐδ᾽ ἐπισπώμενον ἐφ᾽ ἑαυτὸ τὸ ἐκ τοῦ βάθους, ὥσπερ οἱ ἅλες μετὰ τοῦ μέλιτος, ἀλλ᾽ ἀποκρουόμενον. ἅλες δὲ μετὰ μέλιτος διαφορητικὴν ἔχουσι δύναμιν, βραχυτάτου τοῦ στυπτικοῦ μεμιγμένου τοῖς ἁλσίν. ὅταν δὲ τὸ μέλι μιχθῇ, κἀκεῖνο τελείως ἀμαυροῦται καὶ τὸ διὰ τῆς πίσσης δὲ ταῖς κεχρονισμέναις φλεγμοναῖς, καὶ ὡς ἂν εἴποι τις, ἤδη σκιρρουμέναις ἐπιτήδειος, ὥσπερ γε καὶ ὁ
12.981 Κυρηναϊκὸς ὀπὸς οὐκ ἀρχομέναις, ἀλλὰ μετὰ τὸ τοῖς στύφουσιν ἀποκρουσθῆναι τὸ ἐπιρρέον. ἡ δὲ χαλκῖτις οὐδ᾽ ὅλως ἐπιτήδειός ἐστι, πλὴν εἰ σφόδρα κεχρονικυῖά τε καὶ δυσθεράπευτος ἡ διάθεσις ᾖ. δακνῶδες γάρ ἐστι φάρμακον ὠμὴ παραλαμβανομένη καὶ διὰ τοῦτο καθαίρειν ταύτης τὴν δύναμιν βουλόμενοι, πολλάκις αὐτῇ χρώμεθα ὅταν καυθῇ. ἐφεξῆς τῶν προγεγραμμένων ὁ Ἀπολλώνιος ἔγραψε ταῦτα κατὰ λέξιν. ἀναγαργαρίσματα πρὸς τοὺς τῆς κιονίδος κατακρεμασμούς. ὀρίγανον τρίψας καὶ ὄξει καὶ ὕδατι μίξας ἀνάζεσον καὶ ἰσχάδων χυλῷ μίξας χρῶ καὶ δίδου ἀναγαργαρίζειν. ἢ ὕσσωπον τρίψας καὶ ἰσχάδων χυλῷ ἑφθῶν μίξας χρῶ. ὀρίγανον ὁμοίως, ἡδύοσμον καὶ πήγανον καὶ κόριον τρίψας γάλακτι ὀνείῳ δίδου ἀναγαργαρίζεσθαι. σέλινον καὶ

δάφνης φύλλα λεῖα τρίψας καὶ διεὶς οἴνῳ ἢ ἀφεψήματι φακοῦ χρῶ. οἶδα δέ τινα πᾶσι τοῖς ὑπ᾽ αὐτοῦ χρώμενον ἀδιακρίτως ἐν ἀρχῇ φλεγμονῆς γαργαρεῶνος ἐνὶ τούτων χρησάμενον καὶ ἐσχάτως βλάψαντα. πρὸς γὰρ τοῖς ἄλλοις οὐδὲ τί ποτ᾽ ἐστὶν ὁ κατακρεμασμὸς τοῦ κίονος ἐνόησε,
12.982 βουλομένου τοῦ Ἀπολλωνίου τὴν πάνυ κεχαλασμένην ἄνευ φλεγμονῆς ἐνδείκνυσθαι διάθεσιν τοῦ γαργαρεῶνος, ἥντινα καὶ ἀποτέμνειν εἰθίσμεθα καὶ ὄντως ἐπ᾽ αὐτῆς ταύτης τὰ ὑποφλεγματίζοντα καὶ θερμαίνοντα φάρμακα χρήσιμα. καὶ γὰρ τοὐπίπαν ὑπόλευκος γίνεται καὶ ἀναιμοτέρα. ἐφεξῆς δὲ γράφει κατὰ λέξιν ὁ Ἀπολλώνιος οὕτως. οὖρον ὄνου ὡς πλεῖστον καὶ θερμότατον δίδου πίνειν. τὸ δὲ αὐτὸ καὶ ἐπὶ συνάγχης. ἐπὶ τῶν τοιούτων βοηθημάτων θαυμάζω τοὺς γράψαντας, οἶδα γὰρ ἐγὼ πάντας ἀνθρώπους πλὴν ὀλίγων πάνυ θᾶττον ἀποθανεῖν ἐθέλοντας ἢ πιεῖν οὖρον ὄνου. ὁ δέ γε καὶ ὡς πλεῖστον προσέθηκεν, καὶ ἄλλως δὲ, καθάπερ ἔφην πρόσθεν, ἀτοπώτατόν ἐστι φλεγμονὴν ἐν στόματι θεραπεύοντα διδόναι φάρμακον ποτὸν, ὅτι μὴ τῶν καθαιρόντων εἴη τι. ταῦτα γὰρ ἑτέρας ἕνεκα χρείας δίδονται, τῶν δ᾽ ἄλλων ἱκανὰ καὶ χωρὶς τοῦ καταπίνεσθαι βοηθεῖν δυνάμενα. καὶ τὸ μετὰ τοῦτο δὲ γεγραμμένον ὁμοίαν ἔχει τὴν ἀτοπίαν, ὃ καὶ αὐτὸ κελεύει πίνειν. γράφει γοῦν οὕτω περὶ αὐτοῦ, δάφνης φύλλα τρίψας ἐν οἴνῳ καὶ ὕδατι δίδου
12.983 πίνειν. Ἥρας οὖν ἄμεινον Ἀπολλωνίου πολλῷ τόνδε τὸν τρόπον ἔγραψε πρὸς κιονίδας κεχαλασμένας. Ϟ κηκίδος ὀμφακίτιδος μέρος α′. ἁλὸς ἀμμωνιακοῦ μέρος α′. λειώσας ἕκαστον ἰδίᾳ καὶ ὁμοῦ πληρώσας κοχλιάριον παράπτου τῆς σταφυλῆς. λίθον τὸν καλούμενον ἀγήρατον, ᾧ χρῶνται οἱ σκυτεῖς εἰς τὸ λαμπρύνειν τὰ ὑποδήματα τῶν γυναικῶν ἀποξύσας, πλήρου κοχλιάριον καὶ πρόσφερε τῇ σταφυλῇ. τούτων τῶν δύο φαρμάκων τὸ μὲν ἕτερον τὸ ὕστερον ἀλυπότατόν ἐστιν, οὐδὲν οὐδὲ βλάψαι δυνάμενον μέγα, οὐδ᾽ ὠφελῆσαι καθ᾽ ὃν ἄν τις αὐτῷ καιρὸν εἴη χρώμενος, ἰσχυρότερον δὲ τὸ πρῶτον. ἐπὶ οὖν τῶν ἀρχομένων ἢ σφοδρῶς ἐρυθρῶν οὐκ ἐπιτήδειον. εἰ δὲ προκεκενωμένου ὅλου τοῦ σώματος, ἀποκρουστικοῖς τε φαρμάκοις κεχρημένων ἡμῶν, μετὰ ταῦτα προσφέροιτο μὴ σφόδρα ἐνερευθοῦς ὄντος τοῦ γαργαρεῶνος ὠφελῆσαι δυνάμενον, ἐξ ἐναντίων γὰρ ἰσχυρῶν σύγκειται δυνάμεων, ἀποκρουστικῆς τε καὶ διαφορητικῆς. οὐκ ὀρθῶς οὖν ἐποίησεν ὁ Ἥρας

ἀδιορίστως αὐτὰ γράψας. ὁ δὲ Ταραντῖνος Ἡρακλείδης ἐν τοῖς πρὸς Ἀντιοχίδα καὶ αὐτὸς οὕτως ἔγραψε πρὸς κιονίδας φλεγμαινούσας.

12.984 ὀμφάκιον ξηρὸν λεάνας ἀνάμιξον μέλιτος τὸ ἱκανὸν καὶ διάψα. ἢ κηκίδι λείᾳ μετὰ μέλιτος ἢ στυπτηρίας σχιστῆς ὁμοίως. ἢ ὀπῷ Κυρηναϊκῷ μετὰ μέλιτος. ἢ τῇ μελαντηρίᾳ, ᾗ οἱ σκυτεῖς χρῶνται. ἢ τῇ Ἀνδρωνείῳ δυνάμει, ἣν ἐν τοῖς τραυματικοῖς ἐκθήσομαι, μετ᾽ οἴνου. δεῖ δὲ προσαναγαργαρίζεσθαι μετὰ ταῦτα τῷ τοῦ φακοῦ ἀφεψήματι. καλῶς ἐπὶ τῷ τέλει προσέγραψε τοῦτο, σφοδρὰ γάρ ἐστι πάντα τὰ γεγραμμένα πρὸς αὐτοῦ φάρμακα στρυφνὰ ταῖς ποιότησιν ὄντα καὶ διὰ τοῦτο τραχύνοντα. πραῦνειν οὖν βούλεται τὴν ὑπ᾽ αὐτῶν τραχύτητα τῷ τῶν φακῶν ἀφεψήματι, μετρίως δὲ φλεγμαινόντων οὐκ ἀνάγκη τούτοις χρῆσθαι, καθάπερ οὐδ᾽ ὅταν ἐξέρυθροί τε σφόδρα καὶ θερμὴν ἔχοντες φλεγμονὴν ὦσιν οἱ κίονες, ἀλλ᾽ οὐδ᾽ ἐπὶ ταῖς παρακμαῖς αὐτῶν. ἐπικρατεῖν γὰρ χρὴ τηνικαῦτα τὴν τῶν διαφορητικῶν φαρμάκων δύναμιν. Ἀσκληπιάδης δὲ περὶ αὐτῶν οὕτως ἔγραψε, ξηρὸν πρὸς κεχαλασμένας κιονίδας. ἀνήθου σὺν τῷ σπέρματι καὶ ταῖς ῥίζαις λαβὼν ὅσον ἐξαρκεῖ καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν τὸ στόμα φιμώσας καὶ πηλῷ περιπλάσας ὅπτα ἐν καμίνῳ,

12.985 ὥστε τὸ ἄγγος πυρωθῆναι, ἔπειτα ἐξελὼν τῆς καμίνου, τρῖβε κεκαυμένον τὸ ἄνηθον καὶ ἀνελόμενος ἀπόθου. ἐν δὲ τῇ χρήσει λαβὼν τοῦ ἀνήθου μέρη δύο καὶ Ἰλλύριδος χνοώδους μέρος α΄. μίξας ἐμφύσα διὰ καλαμίδος. ἄλλο. ϗ ῥόδων ξηρῶν ξέστην α΄. νάρδου Κελτικῆς σὺν ταῖς ῥίζαις καὶ τῇ περικειμένῃ γῇ δεσμίδιον α΄. χελιδόνων ἀγρίων τῆς νεοττιᾶς ξηρᾶς ≤ γ΄. σμύρνης ≤ η΄. κηκίδας ὀμφακίτιδας ἀριθμῷ ιε΄. κόψας καὶ σήσας ἐμφύσα καὶ παράπτου τοῖς δακτύλοις. τούτων τῶν δύο φαρμάκων τὸ μὲν πρότερον οὐδ᾽ ὅλως οὐδὲν ἔχει τῶν ἀποκρουστικῶν, ἀλλ᾽ ἔστιν ὅλον διαφορητικὸν, τὸ δὲ δεύτερον μικτὸν ἐξ ἐναντίων, διαφορητικοῦ μὲν ἱκανῶς τῆς τῶν ἀγρίων χελιδόνων νεοττιᾶς, στυπτικοῦ δὲ τῶν κηκίδων, μέσης δὲ δυνάμεως τῆς σμύρνης, μικτῆς δὲ τῆς νάρδου τῆς Κελτικῆς, ἔχει γὰρ καὶ στῦφον καὶ διαφοροῦν ἄμφω μέτρια. τὸ μέντοι διὰ καλάμου ἐμφυσᾶσθαι τὰ τοιαῦτα φάρμακα πάνυ μέμφομαι, καταφέρεται γὰρ αὐτῶν πολὺ καὶ εἰς τὸν φάρυγγα καὶ τὸν στόμαχον. βέλτιον οὖν εἰς

12.986 κοχλιάριον ἐμβαλόντας ἀναπιέζειν αὐτὸς, καθάπερ ὁρᾶτε ποιοῦντά με.

καὶ τρίτον ἄλλο φάρμακον ὁ Ἀσκληπιάδης ἔγραψεν ἐφεξῆς τῶν προειρημένων δυοῖν αὐτοῖς ὀνόμασιν οὕτω.

Ξηρὸν πρὸς κεχαλασμένην κιονίδα καὶ ὀγκώδη τοῦ Νεαπολίτου. ⳋ Πεπέρεως λευκοῦ ʃ α′. σμύρνης ʃ α′. σχιστῆς ʃ β′. κηκίδος ὀμφακίτιδος ʃ β′. λείοις παράπτου. τοῦτο τὸ φάρμακον μετὰ τὴν ἀρχὴν ἄχρι παντὸς δύναται χρήσιμον εἶναι χωρὶς τῶν σφοδρῶς ἐξερύθρων, ἐπ᾽ ἐκείνων γὰρ φυλάττεσθαι χρὴ μιγνύειν τὰ δριμέα καὶ δακνώδη σφοδρῶς, οἷόν πέρ ἐστιν ἐνταῦθα τὸ πέπερι. καὶ ἄλλο δὲ τῆς αὐτῆς δυνάμεως ἔγραψεν ἐφεξῆς πρὸς τὰς ὀγκώδεις ἐκ τῶνδε συγκείμενον. ⳋ λίθου ἀγηράτου ʃ δ′. λίθου Ἀσίου τοῦ ἄνθους ʃ δ′. γῆς Σαμίας ʃ δ′. στυπτηρίας σχιστῆς ʃ β′. κρόκου πεφωγμένου ʃ β′. κηκίδων ὀμφακιτίδων ʃ β′. λείοις χρῶ. τούτῳ δὲ ἡμεῖς κεχρήμεθα πολλάκις, ὄντι καλλίστῳ καὶ κατὰ πάντα καιρὸν ὠφελεῖν δυναμένῳ, πλὴν, ὡς ἐπὶ τοῦ πρὸ τούτου λέλεκταί μοι, μήτε κατ᾽ ἀρχὰς εὐθέως μήθ᾽ ὅταν ἐρυθρὸς ᾖ καὶ θερμὸς ὁ τῆς φλεγμονῆς ὄγκος.
12.987 ἐπὶ δὲ τῶν ἤδη κεχρονισμένων καὶ τοῦ σώματος κενοῦ, μετὰ μίαν χρῆσιν εὐθέως ἐπιδείκνυται μεγίστην ὠφέλειαν. καὶ γὰρ τὰ σφοδρῶς στύφοντα καὶ διαφοροῦντα καὶ τὰ τῆς μέσης ὕλης εὐκράτως ἐν αὐτῷ μέμικται.

Κρίτωνος φάρμακον ὠδί πως γεγραμμένον πρὸς κιονίδας. Σκεύαζε πρὸς αὐτὸν τὸν καιρὸν φοινίκων ὀστᾶ καὶ καρύων ἁπαλῶν, ἀώρων, ξηρῶν, ἑκατέρου ʃ δ′. καύσας καὶ λειοτριβήσας χρῶ, ξηρῷ παραπτόμενος. καὶ κατὰ τοῦτο τὸ φάρμακον ἡ τῶν κεκαυμένων ὀστῶν τοῦ φοίνικος δύναμις ἱκανῶς ἐστι διαφορητική. καὶ γὰρ ἐπ᾽ ἄλλων αὐτῆς παθῶν πεῖραν ἔχομεν ὡς τοιαύτης. καὶ ἡ τῶν καρύων δὲ τῶν ἁπαλῶν ξηρανθέντων τέφρα τὸ διαφορητικὸν ἔχει μετὰ τοῦ στυπτικοῦ. καὶ Σωρανὸς δὲ φάρμακον ἀδιορίστως ἔγραψεν, ἐπὶ τίνων ἰδίως ποιεῖ μὴ προσθείς. ἔχει δὲ ἡ λέξις αὐτοῦ τόνδε τὸν τρόπον. γλυκύρριζαν θλάσας ἐπίχει μέλι καὶ γλυκὺ ὕδωρ ἴσον, εἶτα ἑψήσας δίδου τὸν χυλὸν ἀναγαργαρίζεσθαι. ἥμαρτε μὴ
12.988 προσγράψας ὅτι παρηγορικώτατόν ἐστι τοῦτο τὸ φάρμακον, ἐν ταῖς ἀκμαῖς τῶν φλεγμονῶν ὠφελεῖν μεγάλα δυνάμενον. γίνεται τούτου χρεία, κἀπειδὰν ὑπὸ τῶν στρυφνῶν φαρμάκων ἀμετρότερόν τις ἐρεθίσῃ τε καὶ τραχύνῃ τὸν φλεγμαίνοντα κίονα, παρηγορεῖ γὰρ αὐτὸν τοῦτο τὸ φάρμακον.

Περὶ τῶν πρὸς ἄφθας φαρμάκων. Τὰς ἐπιπολῆς ἑλκώσεις ἐν τῷ στόματι γινομένας ὀνομάζουσιν ἄφθας, ἐχούσας τι καὶ θερμότητος πυρώδους. γίνονται δὲ τοὐπίπαν αὗται τοῖς βρέφεσιν, ὅταν ἤτοι μοχθηρὸν εἴη τὸ γάλα τῆς τιτθῆς ἢ μὴ καλῶς αὐτὸ πάνυ πέττῃ τὸ παιδίον. εὐίατοι δ' εἰσὶ τοὐπίπαν ἐπὶ τοῖς μετρίως στύφουσι καθιστάμεναι, ποτέ γε μὴν καὶ χρονίζουσι καὶ δύσλυτοι καὶ τῷ χρόνῳ σηπεδονῶδες ἔχουσι τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν νομήν. γέγραπται οὖν καὶ πρὸς αὐτὰς φάρμακα, μέτρια μὲν πρὸς τὰς μηδὲν ἐχούσας κακόηθες, ἰσχυρὰ δὲ πρὸς τὰς ἤδη νομῶδές τι καὶ σηπεδονῶδες ἐχούσας. μνημονεύσω δ' ἐγὼ τῶν τοῖς νεωτέροις ἠθροισμένων, ἐπειδὴ τά τε τῶν παλαιῶν ἰατρῶν ἄριστα
12.989 γεγράφασιν, ἐκλέξαντες αὐτοὶ μετὰ πείρας μακρᾶς καί τινα τῶν ὕστερον μεθευρημένων προστεθείκασιν. εὕροις δ' ἂν μετὰ τοὺς παλαιοὺς Μαντίᾳ καὶ Ἡρακλείδῃ τῷ Ταραντίνῳ πλεῖστα φάρμακα γεγραμμένα. ὡσαύτως δὲ καὶ Μενεκράτης ἐνέγραψε βιβλίον ἀρίστων φαρμάκων, ὧν αὐτὸς εὗρε τὰ πλεῖστα, καθάπερ γε καὶ ὁ Καππαδόκης Ἥρας. Ἀνδρόμαχος δὲ δύο καὶ τρίτον ἐν ᾧ τὰ τῶν ὀφθαλμῶν γέγραπται φάρμακα. πλείονα δὲ βιβλία συνέθεσαν ὅ τε Ἀντώνιος Μούσας καὶ μετ' αὐτὸν Ἀσκληπιάδαι δύο καὶ μετ' αὐτοὺς Κρίτων. ἀλλ' οὗτοι μὲν οἱ τρεῖς μετὰ τὸν Ἀνδρόμαχον γεγόνασιν, Ἥρας δὲ ἔμπροσθεν Ἀνδρομάχου καὶ μετ' αὐτὸν Μούσας τε καὶ Μενεκράτης. πολὺ δ' ἔτι τούτων ἀνωτέρω ὁ Ἡρακλείδης καὶ ὁ διδάσκαλος αὐτοῦ Μαντίας. ἀλλὰ Μαντίας μὲν, ὡς ἐξ ἀρχῆς ἦν Ἡροφίλειος, οὕτω καὶ διέμεινεν ἄχρι παντός. ὁ δ' Ἡρακλείδης ἐπὶ τὴν τῶν ἐμπειρικῶν ἰατρῶν ἀγωγὴν ἐπέκρινεν ἰατρὸς ἄριστος τά τε ἄλλα τῆς τέχνης γεγονὼς καὶ πλείστων φαρμάκων ἔμπειρος. ὅταν οὖν αἱ ἄφθαι, περὶ τούτων γὰρ πρόκειται λέγειν, ἐκτράπωνται πρὸς τὸ κακόηθες,
12.990 ἰσχυροτέρων δέονται φαρμάκων, ὁποῖα καὶ τὰς ἄλλας ἐν παρισθμίοις τε καὶ στόμασιν διαθέσεις ἰᾶται. προειρημένων οὖν μοι τῶν σκοπῶν τῆς ἐκείνων συνθέσεως, οὐδὲν ἔτι δέομαι περὶ τούτων λέγειν, ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἀφίξομαι τῶν προεγνωσμένων, ἀρξάμενος ἀπὸ τῶν Ἀνδρομάχῳ γεγραμμένων, ὡς εἴωθα κατὰ λέξιν αὐτὰ γράφειν.

Τὰ ὑπ' Ἀνδρομάχου γεγραμμένα πρὸς ἄφθας. Οὐ μόνον Ἀνδρόμαχος, ἀλλὰ καὶ ἄλλοι διττὰ γένη φαρμάκων ἔγραψαν πρὸς ἄφθας. ἐπὶ μὲν τῶν οὐδέπω κακόηθες ἐχουσῶν, τὰ μέτρια ταῖς δυνάμεσι φάρμακα συνθέντες,

ἐπὶ δὲ τῶν κακοηθευομένων ἰσχυρότερα. προσγράφουσι δ᾽ ἐν τούτοις αὐτοὶ, ποτὲ μὲν ὅτι πρὸς ἄφθας καὶ ἕλκη τόδε τὸ φάρμακον ἁρμόττει, ποτὲ δ᾽ ὅτι πρὸς ἄφθας τὰς σηπεδονώδεις. ὅταν δὲ ἁπλῶς προσγράφωσι πρὸς ἄφθας, τὰς ἁπλᾶς δηλοῦσι καὶ μηδὲν ἐχούσας κακόηθες. ὁ δ᾽ οὖν Ἀνδρόμαχος πρὸς τὰς κακοήθεις ἄφθας οὕτως ἔγραψεν. πρὸς ἄφθας τὰς ἐν τῷ στόματι καὶ ἕλκη. ⳁ σχιστῆς κεκαυμένης ‹ β′. ἐρείκης καρποῦ ‹ α′.
12.991 σὺν ἐλαίῳ ἔκμασσε τῷ δακτύλῳ τοὺς τόπους. ἄλλο πρὸς τὰ αὐτά. ⳁ ἰοῦ ‹ β′. στυπτηρίας σχιστῆς μέρη β′. κηκίδος χνοώδους μέρος α′. λεάνας δι᾽ ὀθονίου χνόισον, εἶτα ἐλαίῳ ἐμβρέχων τὸν δάκτυλον καὶ ἀναλαμβάνων τὸ ξηρὸν, παράπτου ἐπιπολὺ ἐκμάσσων τὰ παρίσθμια καὶ τὴν ὑπερῴαν σὺν τῇ σταφυλῇ. ἀφίστησι δὲ δερμάτια καὶ αἴρει τοὺς περὶ τὸ σῶμα τραχυσμοὺς καὶ τύλους ἀποδερματίζει, τὰ δ᾽ ἕλκη ἐπουλοῖ. πρὸς δὲ τὰς ἐπιπολαίους ἄφθας ὠδί πως ἔγραψεν. πρὸς ἄφθας λύκιον Ἰνδικὸν σὺν οἴνῳ λεανθὲν περιχριόμενον, ποιεῖ καὶ ἐρείκης καρπὸς λεῖος ἢ ῥόδα ξηρὰ σὺν μέλιτι. ταῦτα προειπὼν ἐπιφέρει, ἐὰν δὲ μέλανα ᾖ καὶ πονηρὰ, σταφίδος καθαρᾶς μέρη τρία, ἄνισον ἴσον, λεῖα σὺν μέλιτι διάχριε, εἶτα διάκλυζε.

Πρὸς ἄφθας Κρίτωνος. Κρίτων δὲ οὕτως ἔγραψε πρὸς ἄφθας. ἀνδράχνην εἰς μέλι ἀποβάπτων μασῶ. ἢ ἐλαίας φύλλοις ἐν οἴνῳ ἐψημένοις διακλυζέσθω ἢ μυρσίνης λευκῆς τῶν φύλλων ἐν ἀφεψήματι μετ᾽ οἴνου. ἢ ἰοῦ σκώληκος τριώβολον ἐν οἴνου κοτύλης τετάρτῳ λειώσας διακλυζέσθω. καὶ ἡ κηκὶς δὲ τριβεῖσα ἐν ὄξει δριμεῖ διαχρίεται· ἐπὶ δὲ
12.992 παιδίων δᾳδία καὶ μυελὸν βόειον ἐψήσας ψώμιζε. ποιεῖ δὲ καὶ ἀμύγδαλα πικρὰ μετὰ μέλιτος. πρὸς δὲ τὰς μελαινομένας ἄφθας ἐκγεγιγαρτισμένῃ σταφίδι καὶ ἀνίσῳ λείοις μετὰ μέλιτος διάχριε. ὁ δὲ Ταραντῖνος Ἡρακλείδης ἀποσμήξας ὀροβίῳ μετὰ μέλιτος καὶ κηκίδι μετὰ μέλιτος προσάπτου. ἁρμόζει καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα μετὰ μίνθης κλωνίων. ἔστω δὲ τοῦ μὲν ῥοῦ πλῆθος ὅσον τοῖς τρισὶ δακτύλοις, τῆς δὲ μίνθης κλωνία τρία καὶ ῥόδων φύλλα ὅσον ἑπτὰ καὶ στροβίλια ἑπτὰ, τούτοις πᾶσι μετὰ μέλιτος λειωθεῖσι χρῶ ἢ λυκίῳ μεθ᾽ ὕδατος. ἁρμόζει καὶ τρὺξ οἴνου γλυκέος μετὰ μέλιτος διαχριομένη. ἢ στυπτηρίαν καὶ σίδια ῥοιᾶς γλυκείας ἐξ ἴσου τρίψας καὶ στέατι χηνείῳ μίξας διάχριε, ὕδατι θερμῷ συνεχέστερον διάκλυζε καὶ πρόσαπτε χηνείῳ στέατι. ἄλλο Μούσα. ⳁ

μυρίκης καρποῦ ‹ στ΄. στυπτηρίας σχιστῆς ‹ β΄. ἐν ἐλαίῳ. ἄλλο μάλιστα ἐπὶ παιδίων. ῥοῦν ἐρυθρὸν λεῖον μετὰ μέλιτος μίξας διάχριε ἢ στέαρ ὕειον καὶ μέλι τετηγμένα, δίδου δὲ αὐτοῖς διακλύζεσθαι γάλα ὄνειον,
12.993 ἐπιπλεῖστον δὲ φερομένου τοῦ σιέλου, κηκίδα καὶ στρύχνον ὄξει διεὶς, ποίησον διακλύζεσθαι, λευκόια ξηρὰ τρίψας μετὰ μέλιτος διάχριε. ταῦτα γράψαντι τῷ Κρίτωνι μέμψαιτ᾽ ἄν τις εἰκότως ὅπερ τοῖς ἄλλοις ἀεὶ μέμφομαι, καταλέγουσιν ἐφεξῆς ἀδιορίστως βοηθήματα μὴ ἀρχομένου τοῦ πάθους προσθεῖσιν ἢ ἀναβαίνοντος ἢ καταβαίνοντος ἢ ἀκμάζοντος ἢ παρακμάζοντος, μήθ᾽ ὅτι μικρὸν ᾖ, καὶ ἐπιεικὲς ἢ μοχθηρὸν οὕτως, ὡς ἐζεῦχθαί τι σηπεδονῶδες αὐτῷ. τούτων γὰρ τῶν γεγραμμένων φαρμάκων ἕνια μὲν ἁπλούστατά ἐστιν, ἐπὶ παιδίων ἁρμόττοντα μάλιστα μηδεμίαν ἐχόντων διάθεσιν, οἷον ὅταν ὕειον στέαρ καὶ μέλι τετηγμένα παραλαμβάνῃ, καὶ πολὺ μᾶλλον ὅταν διακλύζεσθαι ὄνειον γάλα κελεύει. ἁπλούστατον δὲ φάρμακόν ἐστι καὶ ἡ ἀνδράχνη ἐμβαφθεῖσα μέλιτι καὶ διαμασωμένη καὶ τὸ διὰ τῶν φύλλων τῆς ἐλαίας διάκλυσμα καὶ τὸ διὰ τῆς λευκῆς μυρσίνης ὁμοίως. ἰσχυρότατον δὲ καὶ τὸ διὰ τοῦ ἰοῦ καὶ τοῦ οἴνου, καθάπερ γε καὶ ἡ κηκὶς ὄξει δριμεῖ τριβεῖσα καὶ διαχριομένη. πάνυ
12.994 γὰρ ἰσχυρὸν τοῦτο τὸ φάρμακον, ὥσπερ καὶ τὸ διὰ τοῦ ἰοῦ. ἀλλ᾽ ἐπ᾽ ἐκείνου μὲν ὀλίγιστον τοῦ ἰοῦ. τριώβολον γὰρ εἶπεν ἐν οἴνου κοτύλης τετάρτῳ λειωθὲν καὶ διακλυζόμενον ἀσθενὲς γίνεται τῷ πλήθει τῆς τοῦ οἴνου μίξεως ἐκλυθέν. ἡ δὲ κηκὶς ἐν ὄξει δριμεῖ λειωθεῖσα παχεῖα οὕτως, ὡς διαχρίεσθαι, πάνυ σφοδρόν ἐστι φάρμακον, ὥσπερ γε καὶ τὸ διὰ τῆς στυπτηρίας καὶ σιδίων ῥοιᾶς γλυκείας συντιθέμενον, ὅπερ εἰ μὴ ἐμέμικτο τῷ χηνείῳ στέατι, πρὸς σηπεδόνας ἂν ἥρμοττεν ἰσχυράς. ἰσχυρὸν δὲ καὶ τὸ διὰ τοῦ τῆς μυρίκης καρποῦ καὶ τῆς στυπτηρίας, ἀλλ᾽ οὐχ οὕτως, ὡς τὸ διὰ τῆς κηκίδος καὶ τοῦ ὄξους. ἅπαξ δὲ μόνον καλῶς ἐποίησε προσθεὶς κατὰ λέξιν οὕτως. ἐπιπλέον δὲ φερομένου τοῦ σιέλου κηκίδα καὶ στρύχνον ὄξει διεὶς ποίησον διακλύζεσθαι. τὸ γὰρ ἐπιπλέον φέρεσθαι τὸ σίελον ἐμφαντικόν ἐστι τοῦ τὴν διάθεσιν εἶναι μείζονα. κάλλιον δὲ ἦν ἄντικρυς εἰρηκέναι, νομώδους δὲ τῆς διαθέσεως γενομένης ἢ γενομένων ἑλκῶν βαθέων, ἤ τι τοιοῦτον προσγράψας.

Περὶ τῶν ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένων πρὸς ἄφθας. Καλῶς οὖν
12.995 ἐποίησεν ὁ Ἀσκληπιάδης, εἰ καὶ μὴ πολλὰ φάρμακα πρὸς ἄφθας ἔγραψεν,

ἀλλ᾽ ἐπί γε τοῖν δυοῖν ἐν ἀρχῇ γράψας οὕτω. πρὸς ἄφθας χωρὶς νομῆς, ἔπειτα μετὰ δύο πάλιν προσγράψας πρὸς τὰς νεμομένας ἄφθας, ἄδηκτα γάρ ἐστι τὰ δύο φάρμακα τὸ μὲν ἕτερον τὸ πρότερον, ἐν ᾧ φησι, μυελὸν βόειον μέλιτι μίξας καὶ χλιάνας διάχριε, μάλιστα δὲ νηπίοις ἐστὶ χρήσιμον. τὸ δὲ ἐφεξῆς εἰρημένον στέαρ ὕειον μέλιτι μίξας χρῶ. πρὸς δὲ τὰς νεμομένας ἄφθας κηκίδων ἀφεψήματι κελεύσας κύαθον ἕνα καὶ μέλιτος ἴσον μίξαντα καὶ ἀναζέσαντα χρῆσθαι. ἐγὼ δὲ ἔφθασα καὶ τοῦτο καὶ ἄλλα τρία μετ᾽ αὐτὸ γεγραμμένα, μικρὸν ἔμπροσθεν ἐν τοῖς πρὸς τὰς νομὰς φαρμάκοις γράψας, καὶ γὰρ οὐδὲν ἡγοῦμαι διαφέρειν, εἴτ᾽ ἐξ ἄφθης εἴτ᾽ ἐξ ἄλλου τινὸς ἡ μετάπτωσις εἰς τὴν νομὴν γένοιτο.

Περὶ τῶν ὑπ᾽ Ἀπολλωνίου γεγραμμένων πρὸς ἄφθας. Ἀπολλώνιος δὲ ὁ Ἡροφίλειος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων φαρμάκων ὡδί πως ἔγραψε κατὰ λέξιν πρὸς τὰς λευκὰς ἄφθας. χαλκῖτιν ἐλαίῳ τρίψας διάχριε πτερῷ,
12.996 τοῦτο παραχρῆμα παύει. ἐπειδὰν δὲ καθαρὰ γένηται, μυρίκης καρπὸν λεάνας καὶ διεὶς μελικράτῳ ἢ οἴνῳ διάχριε, μάλιστα νηπίοις. εἶτ᾽ ἐφεξῆς γράφει ἄλλο καὶ μάλιστα πρὸς τὰς μελαίνας ἄφθας, σταφίδι ἐκγεγιγαρτισμένῃ καὶ ἀνίσῳ λείοις μετὰ μέλιτος διάχριε. καὶ πάλιν ἄλλο ἐφεξῆς. χαλκάνθῳ κεκαυμένῳ λείῳ μετὰ μέλιτος χρῶ. φαίνεται γὰρ ἐπὶ τῶν κακοήθων τοῖς φαρμάκοις τούτοις κελεύων χρῆσθαι. ἔγραψε γοῦν κατὰ μὲν τὸ πρῶτον τῶν φαρμάκων πρὸς τὰς λευκὰς ἄφθας, κατὰ δὲ τὸ δεύτερον πρὸς τὰς μελαίνας, ἐνδεικνύμενος τὸ παρὰ φύσιν τῆς χρόας καὶ τὸ μέγεθος τοῦ πάθους. ἐφεξῆς δὲ προσγράψας διακλύσματα πρὸς ἄφθας, ἐπιφέρει κατὰ λέξιν οὕτως, οἴνῳ μέλανι αὐστηρῷ καὶ ὑποστύφοντι διάκλυζε. ἐλαίας φύλλοις ἐν οἴνῳ ἑψημένοις διάκλυζε. μυρσίνης λευκῆς φύλλα ἀφεψήματι μετ᾽ οἴνου παραπλησίως χρῶ. ταῦτα τὰ διακλύσματα χωρὶς διορισμοῦ γεγραμμένα βλάβην οὐδεμίαν ἐπιφέρει. καὶ γὰρ ἐπὶ τῶν μετρίων καὶ ἐπὶ τῶν μειζόνων καὶ τῶν μεγίστων διαθέσεων ἁρμόζει. καλῶς δὲ ἐφεξῆς ἔγραψεν ἄλλο σφόδρα ἐνεργοῦν. ἰοῦ σκώληκος
12.997 τριώβολον τρίψας ἐν οἴνου κοτύλης τετάρτῳ δίδου διακλύζεσθαι, εἶθ᾽ οὕτως οἴνῳ διάκλυζε. τοῦτο γὰρ ἐπὶ τῶν ἰσχυροτέρων ἁρμόζει, καθάπερ γε καὶ τὸ ἐφεξῆς οὕτω γεγραμμένον ἅλμην ἐλαιῶν καὶ ὄξους ἴσον μίξας δίδου διακλύζεσθαι, εἶθ᾽ οὕτως οἴνῳ διάκλυζε. μετὰ δὲ ταῦτα μελικράτῳ, εἶθ᾽ ἑξῆς ὕδατι χρῶ, ἐπὶ πᾶσι δ᾽ ἐλαίῳ διάκλυζε. μετὰ ταῦτα δὲ δύο

γράφει φάρμακα διαφόροις εἴδεσιν ἀφθῶν ἁρμόζοντα. τὸ μὲν γὰρ ὕσσωπον τριφθὲν πρὸς τὰς θερμὰς καὶ ἀναβιβρωσκομένας διαθέσεις καὶ καθαρὰς ἐναντιώτατόν ἐστιν. ἁρμόζει δὲ ταῖς ῥυπαραῖς καὶ ταῖς φλεγμονώδεσιν ἄφθαις. τὸ δ' ὀμφάκιον μετ' οἴνου ἐπιτήδειον ταῖς καθαραῖς καὶ δακνομέναις καὶ ἀναβιβρωσκομέναις. κελεύει δὲ τὸ μὲν ὀμφάκιον μετ' οἴνου τρίψαντα διακλύζεσθαι, τὸ δ' ὕσσωπον μετ' οἴνου ἢ μελικράτου. ἰσχυρὸν δὲ πάνυ τὸ μετὰ ταῦτα φάρμακον, ὡς ἤδη καὶ νομώδεσιν ἄφθας ἁρμόζον, ὃ συντίθησι, μυρίκης καρπὸν ἕψων μετ' ὄξους. ἰσχυρὸν δὲ καὶ τὸ ἐφεξῆς αὐτῷ γεγραμμένον, ἐφ' οὗ φησι κηκίδα τρίψας, ἐν ὄξει δριμεῖ δίδου διακλύζεσθαι. τὸ δὲ μετὰ ταῦτα
12.998 γεγραμμένον, ἐφ' οὗ φησιν, ὀπῷ σιλφίου διειμένῳ παραπλησίως χρῶ, μετὰ δὲ ταῦτα ἐλαίῳ διάκλυζε. καὶ αὐτὸ δριμὺ καὶ δακνῶδές ἐστι καὶ διαφορητικὸν, οὐ στυπτικόν. οὐκ ὀρθῶς οὖν ἀναμέμικται τὰ στυπτικὰ καὶ στρυφνὰ καὶ ἀποκρουστικὰ τοῖς διαφορητικοῖς καὶ δριμέσιν ἄνευ διορισμοῦ γεγραμμένα. τὸ δ' ἐφεξῆς τούτοις, ὅτι μὲν δι' ὄξους σκευάζεται γενναῖόν ἐστιν· ὅτι δὲ οὐ προσέθηκε τῷ ὄξει τὸ δριμὺ καὶ ὅτι διὰ λίνου καρποῦ μετριώτερον γίνεται, προσέθηκε δὲ αὐτῷ καὶ τὰς αἴρας, διαφορητικὸν ἱκανῶς φάρμακον. διὰ τοῦτο οὖν αὐτὸ καὶ πρὸς τὰ τῆς γλώττης οἰδήματά φησιν ἁρμόττειν. παραγράψω δὲ καὶ πᾶσαν αὐτοῦ τὴν ῥῆσιν. λίνου καρπὸν καὶ αἴρας ἴσα τρίψας μετ' ὄξους διάκλυζε. τὸ δ' αὐτὸ τοῦτο ποιεῖ καὶ πρὸς τὰ τῆς γλώττης οἰδήματα. πραότερον δὲ πολὺ τούτων ἁπάντων φάρμακον ἐφεξῆς ἔγραψε κατὰ λέξιν οὕτως. φύλλα κοκκυμηλέας κόψας καὶ γάλακτι μίξας, οἴνῳ διάκλυζε. προσκειμένου γὰρ τῷ λόγῳ τοῦ διάκλυζε δῆλόν ἐστιν ὅτι πολλῷ τῷ γάλακτι μίγνυσιν ὀλίγα τῶν φύλλων, ὡς εἴ γε τὰ φύλλα τῷ γάλακτι συλλειωθέντα φάρμακον
12.999 ἐκέλευσεν εἶναι διάχριστον, ἦν ἂν οὕτω γε δῆλον ὅτι πολλὰ μὲν τὰ φύλλα, τὸ γάλα δὲ ὀλίγον εἶναι ἐκέλευσεν. ἐφεξῆς δὲ προσγράψας διαμασητὰ πρὸς ἄφθας ἐπιφέρει, ἐλαίας ἁλμάδας διαμασητέον. εὔδηλον δ' ὅτι πραότατον φάρμακόν ἐστιν. εἶτ' αὖθις ἑξῆς· ἀνδράχνην εἰς μέλι ἀποβάπτοντα διαμασητέον. καὶ τοῦτο ὁμοίως πρᾶόν ἐστι. διαφέρει δ' ἀλλήλων τὰ δύο ταῦτα τῷ τὰς μὲν ἁλμάδας καὶ στύφειν καὶ διαφορεῖν, πλεῖστον δ' ἐν αὐταῖς ἔχειν τὸ στυπτικόν. τὴν δὲ ἀνδράχνην μετὰ τοῦ μέλιτος ἀσθενέστερον εἶναι φάρμακον. ἐφεξῆς δὲ καλῶς ἐποίησεν εἰπὼν,

ἐπὶ παιδίων ἁρμόττειν ἃ μέλλει λέγειν φάρμακα. γράφει δὲ περὶ αὐτῶν κατὰ λέξιν οὕτω. ὅταν παιδίον ἄφθας ἔχῃ, σεμίδαλιν καὶ μυελὸν βόειον καὶ ἄλευρον ἕψας ψώμιζε, ἐὰν δὲ μὴ δύνηται θηλάζειν. ἄλλο. σπλῆνα βοὸς ἑψήσας ἐν οἴνῳ καὶ τρίψας μετὰ μέλιτος ψώμιζε. τοῦτο μὲν οὖν περίεργον τὸ φάρμακον. ἐφεξῆς δὲ καλῶς ἔγραψεν, ἀπέχεσθαι κατὰ τὴν δίαιταν δριμέων τε καὶ ἁλυκῶν καὶ ὀξέων σιτίων τε καὶ ποτῶν, εἶτα οὐκ οἶδ' ὅπως ἐφεξῆς τούτῳ γράφει κατὰ λέξιν οὕτως. χαλκάνθην λείαν
12.1000 κεκαυμένην μετὰ μέλιτος διάχριε. τοῦτο ἐχρῆν ἀνωτέρω γεγράφθαι μετὰ τῶν ἰσχυρῶν φαρμάκων.

Τὰ ὑπ' Ἀρχιγένους γεγραμμένα πρὸς ἄφθας. Ἔνια μὲν καὶ τῶν ὑπ' Ἀρχιγένους γεγραμμένων πρὸς ἄφθας ταὐτὰ τοῖς προγεγραμμένοις ἐστὶν, ἀλλ' ἔδοξέ μοι πᾶσαν αὐτοῦ τὴν λέξιν ἐφεξῆς γράψαι μηδὲν παραλιπόντι. γράφει οὖν οὕτως. πρὸς ἄφθας διακλύσματα μὲν ποιεῖ· ἐλαίας φύλλων ἀφέψημα ἢ μυρσίνης φύλλων λευκῆς ὁμοίως ἢ ἐλαίας κολυμβάδος ὕδωρ. ποιεῖ καὶ ἡ ἀμόργη καὶ πρασίου χυλὸς ἢ φακοῦ ἀφέψημα ἢ βάτου ἢ κύπρου ἢ ἰοῦ σκώληκος τριώβολον, ἐν οἴνου κνιδίου κοτύλης τετάρτῳ, τοῦ διακλυζέσθω. διάχριστοι δὲ ποιοῦσι καὶ αἱ πλείονες τῶν ἀναγραφησομένων στοματικῶν, ἰδιαίτερον δὲ συμφωνεῖ ταῦτα. Ϟ σχιστῆς, ῥόδων ἄνθη ἴσα, μυρίκης καρποῦ τὸ διπλοῦν, ξηροῖς χρῶ. ἢ λίβανον, γλυκυρρίζης χυλὸν ἴσα, κηκίδος, σμύρνης, ἀνίσου ἀνὰ
12.1001 ὀλίγον, σὺν προτρόπῳ περίχριε. ἄλλο. μάνναν καὶ ἅλας ἴσα ξηρὰ διὰ πτεροῦ κατάψα. ἄλλο. τρυγὶ οἴνου γλυκέος σὺν μέλιτι κατάχριε. ἄλλο. μίσυ καὶ στυπτηρίαν καὶ ῥοῦν σὺν μέλιτι. ἢ χαλκῖτιν μετ' ἐλαίου πτερῷ διάχριε, ἀγαθὸν σφόδρα. ἢ ἐλαίας φύλλα μετ' ἐλαίου διάχριε. ὅταν δὲ καθαρθῇ, μυρίκης καρπῷ σὺν μελικράτῳ ἢ οἴνῳ διάχριε. ἢ ἀποσμήξας ὀροβίνῳ καὶ μέλιτι καὶ κηκίδι μετὰ μέλιτος προσάπτου. ἢ μυρίκης σπέρμα καὶ σχιστῆς τὸ γ′. μετ' ἐλαίου διάχριε. τοῦτο καὶ πρὸς νομὰς ποιεῖ. ἢ στέαρ ὕειον ἢ χήνειον ἔμπασον μάννα καὶ διάχριε. ἢ κηκίδα λείαν μετ' ἐλαίου. ἢ στυπτηρία ὑγρὰ ἀνιεμένη. ἢ φύλλα κύπρου διαμασάσθωσαν. ἢ λυκίου ῥίζαν ξηρὰν παράπτου. ἢ θαλλία λεῖα μετὰ μέλιτος. ἢ κηκίδα μεθ' ἁλῶν. ἐὰν δὲ ἐπιταθῇ καὶ νέμηται σηπεδονικῶς, διακλύσμασι μὲν καὶ ἀναγαργαρίσμασι χρηστέον τοῖς πρὸς ἄφθας τοῖς εὐτονωτέροις. ἰδίως δὲ ἅλμην συνεχέστερον, ἢ ἱερὰν βοτάνην ὕδατι ἢ οἴνῳ ἐναφεψήσας δὸς

διακλύζεσθαι ἢ ἀναγαργαρίζεσθαι. διαχρίσμασι μὲν τῶν πρὸς ἄφθας τοῖς
12.1002 εὐτονωτέροις· ἰδίως δὲ κέρας ἐλάφειον λεάνας παράτριβε. ἢ χαλκάνθῃ ὀπτῇ λείᾳ μετὰ μέλιτος. ἢ ἰῷ χαλκοῦ ἢ λεπίδι μετὰ μέλιτος. ἄκρως ποιεῖ πρὸς νομὰς μαράθρου ῥίζης κεκαυμένης σποδός. ταῦτα πρὸς ἄφθας ὁ Ἀρχιγένης ἔγραψεν ἐν τῷ πρώτῳ περὶ φαρμάκων, ὀλίγου δεῖν ἅπαντα καὶ τοῖς ἄλλοις γεγραμμένα. τί δή ποτ᾽ οὖν ἠξίωσα δὶς γράψαι ταῦτα καίτοι φυλαττόμενος οὕτως πράττειν; ὅτι καὶ τὸν Ἀρχιγένην τῶν ἄλλων ἐπιστάμενος ἀξιολογώτερον, ἐν τῷ τὰ κοινὰ μετὰ τῶν οἰκείων γράφειν διορισμῶν, ἑώρων καὶ αὐτὸν ἐν πολλοῖς ἀμελοῦντα τῆς τοιαύτης διδασκαλίας. νῦν οὖν ἐφεξῆς ἅπαντα χύδην ῥίπτει τὰ βοηθήματα, μετὰ τὸ συνεχὲς ἀλλήλοις εἰρημένα πραότατά τε καὶ δριμύτατα. τί γὰρ ὅμοιον ἰὸς ἔχει φακοῦ καὶ βάτου καὶ κύπρου ἀφεψήματι; τί δὲ κηκὶς στέατι χηνείῳ καὶ ὑείᾳ; δριμὺ μὲν γὰρ καὶ διαβρωτικὸν, ἰσχυρῶς τε ξηραῖνον φάρμακόν ἐστιν ὁ ἰός· βάτος δὲ καὶ κύπρος καὶ φακὸς ἐλαχίστην ἔχει στύψιν. οὕτω δὲ καὶ ἡ κηκὶς ἰσχυρότατα στύφουσα τὴν ἐναντίαν ἔχει δύναμιν ὑείῳ τε
12.1003 καὶ χηνείῳ στέατι. γέγραπται δὲ ἐφεξῆς ἀλλήλων, καθάπερ τὰ πρότερα καὶ τὰ ἄλλα δὲ ὅσα ἐμνημόνευσε, τὴν αὐτὴν ἀταξίαν ἔχει. βέλτιον δ᾽ ἦν, ὥσπερ ἅπαξ που κατὰ τὸν λόγον ἔφη, τοῦτο καὶ πρὸς νομὰς ποιεῖ, κατὰ τὸν αὐτὸν τρόπον καὶ περὶ τῶν ἄλλων διορίσαι προσγράψαντα, τοῦτο μὲν βρέφεσιν ἢ παισὶν ἁρμόττειν εἰπόντα, τουτὶ δὲ τοῖς τελείοις καὶ τουτὶ μὲν ἀρχομέναις ἢ μετρίαις ἄφθαις, τουτὶ δὲ ἀκμαζούσαις ἢ ἰσχυραῖς, ἁπάντων δὲ μᾶλλον ἤτοι διαπύροις καὶ θερμαῖς ἢ ψυχροτέραις μᾶλλον· καὶ τῶν διαπύρων τουτὶ μὲν ταῖς ἐρυθροτέραις, τουτὶ δὲ ταῖς ξανθοτέραις. αἱ μὲν γὰρ τὸ φλεγμονῶδες, αἱ δὲ τὸ ἐρυσιπελατῶδες ἔχουσιν, ὥσπερ γε πάλιν αἱ μὴ διάπυροι φλεγμαντικαὶ τοὐπίπαν εἰσὶν, καθάπερ τῶν χρονιζουσῶν ἔνιαι τοῦ μελαγχολικοῦ χυμοῦ κακίαν ἐπικτῶνται. διαγνώσονται δ᾽ ἅπασαι ῥᾳδίως ὄψει τε ἅμα καὶ ἁφῇ, τῇ μὲν ὄψει διὰ τῶν χρωμάτων καθότι λέλεκταί μοι καὶ νῦν. αἱ μὲν γὰρ ἐρυθρότεραι τὸν αἱματικὸν ἐπικρατεῖν ἐνδείκνυνται χυμὸν, αἱ δὲ ξανθότεραι τὸν πικρόχολον, ὥσπερ γε πάλιν αἱ μὲν λευκαινόμεναι τὸν
12.1004 φλεγματικώτερον αἱ δὲ πελιδνούμεναί τε καὶ μελαινόμεναι τὸν μελαγχολικόν. ὁ γὰρ ταῦτα διορισάμενος ἐπιστάμενός τε τὴν ἑκάστου τῶν ἁπλῶν φαρμάκων δύναμιν, ὡς ἐν τῇ αὐτῶν διδασκαλίᾳ γέγραπται,

καθ’ ἕκαστον εἶδος ἄφθης ἐπιστήσαιτο χρῆσθαι τοῖς τε ἁπλοῖς καὶ συνθέτοις φαρμάκοις, ὡς πολλάκις ἤδη προείρηται. συνεπισκέψεται δὲ καὶ τὰς τῶν σωμάτων φύσεις, εἰ καὶ μαλακαί τέ εἰσι καὶ ὑγραὶ, καθάπερ ἐπὶ παίδων εὐνούχων τε καὶ γυναικῶν· ἢ σκληραί τε καὶ ξηραὶ, καθάπερ ἐπὶ τῶν ἁλιέων καὶ ναυτῶν καὶ κυνηγετῶν καὶ γεωργῶν. τοῖς γὰρ ἰσχυροτέροις σώμασι τὰ ἰσχυρότερα προσάξεις φάρμακα, τοῖς δ’ ἀσθενεστέροις τὰ μαλακώτερα. ἐγὼ δὲ ἐπὶ μὲν τῶν βρεφῶν, ὅσα ψωμίζουσιν αἱ τροφοὶ, φακῆν μετὰ βραχέος ἄρτου καὶ μυελοῦ ἐλαφείου ἢ μοσχείου δίδωμι. μίγνυμι δὲ τῇ τροφῇ καὶ μήλων κυδωνίων ἢ τῶν ἄλλων ὅσα στύφει, καθάπερ ἐν Ῥώμῃ τὰ κεστιανὰ καλούμενα καὶ τῶν τοιούτων ἀπίων, οὗων τε καὶ μεσπίλων καὶ κράνων καί ποτε καὶ θριδακίνης καὶ σέρεως καὶ στρύχνου καὶ ἀνδράχνης μίγνυμι τῷ
12.1005 ψωμίσματι, διαπύρου τῆς ἄφθης ὑπαρχούσης. εἰ δὲ μὴ ψωμίζεσθαι ἔτι δύναται, τὴν τροφὴν ἐπὶ τοῖς τοιούτοις διαιτῶ μετ’ εὐπεψίας δηλονότι. καὶ μέντοι καὶ διαχρίω τὰ βρέφη φαρμάκοις, εἰ μὲν ὑπερύθρους βλέποιμι τὰς ἄφθας, ἐν ἀρχῇ μὲν τοῖς μετριώτατα στύφουσί τε καὶ ψύχουσιν· ἐφεξῆς δὲ τοῖς διαφοροῦσιν ἀδήκτως· εἰ δὲ ὑποξάνθους, τοῖς αὐτοῖς μὲν, ἀλλὰ μᾶλλον ψύχουσι· εἰ δὲ φλεγματικωτέρας, τοῖς στυπτικοῖς· εἰ δὲ μελαινομένας, τοῖς διαφοροῦσι γενναιότερον. ἐπὶ δὲ τῶν μειζόνων παιδίων ταῖς ὁμοιογενέσι δυνάμεσι τῶν φαρμάκων χρώμενος ἐπιτείνω τὴν δύναμιν αὐτῶν, ὥσπερ γε καὶ τὰ τέλεια καὶ σκληρὰ σώματα ταῖς καθ’ ἕκαστον ὧν εἶπον ἰσχυροτάταις. ἤρκεσε δέ μοι διαπαντὸς ἐπὶ τούτων μίσυϊ χρῆσθαι μετ’ οἴνου στύφοντος, ἐπιτείνοντί τε καὶ ἀνιέντι τὴν δύναμιν αὐτοῦ. τὸ δὲ μᾶλλον ἢ ἧττον στύφειν τὸν οἶνον καὶ τὸ παχύτερον ἢ ὑγρότερον ἐργάζεσθαι τὸ σκευασθὲν, ἐκ τῆς τοῦ μίσυός τε καὶ οἴνου μίξεως γίνεται. εἰ δὲ ῥυπαρὰ ἡ ἄφθα ἐπιφαίνοιτο, σὺν οἰνομέλιτι τρίβω τὸ μίσυ. τοῖς δὲ ἰσχυροτέρων ἢ κατὰ τὸ μίσυ φαρμάκων
12.1006 χρῄζουσιν ὁ ἰὸς ὁμοίως σὺν οἴνῳ τε καὶ οἰνομέλιτι χρήσιμος ὑπάρχει. διαχριστέον δὲ δηλονότι τοῖς τοιούτοις φαρμάκοις τὰ πεπονθότα μόρια τοῦ στόματος, ἀγαθὸν δὲ εἰς ταῦτα φάρμακόν ἐστι χαλκῖτις ἐλαίῳ λειωθεῖσα. τὰ μὲν δὴ τοιαῦτα δραστήρια, μέτρια δὲ καὶ μάλιστα πρὸς τὰς ἀρχομένας διαθέσεις ὀμφάκιον σὺν οἴνῳ καὶ οἰνομέλιτι καὶ ῥοῦς ὁμοίως. ἐπὶ δὲ τῶν παιδίων ἀρκεῖ καὶ τῶν ῥόδων τὸ ἄνθος καὶ αὐτὰ τὰ ῥόδα ξηρὰ

καὶ τὰ διακλύσματα διὰ τῶν μετρίως στυφόντων ἐπὶ τῆς ἡλικίας τε καὶ φύσεως τῶν τοιούτων σωμάτων. ἐνὶ δὲ λόγῳ αἱ μέτριαι μὲν ἄφθαι μάλιστα ἐπὶ τῶν ἁπαλῶν σωμάτων μετρίων χρῄζουσι φαρμάκων· αἱ δὲ ἰσχυραὶ καὶ μάλιστα ἐπὶ σκληρῶν σωμάτων ὑπὸ τῶν ἰσχυροτέρων θεραπεύονται. ἰσχυρὰ δὲ δηλονότι λέγω φάρμακα τά τε ἰσχυρῶς στύφοντα καὶ δάκνοντα· καθάπερ γε μέτρια τὰ μηδόλως μὲν δάκνοντα, μετρίαν δὲ στύψιν ἔχοντα. γίνεται δὲ κἀπὶ τούτων, ὥσπερ ἐπὶ τῶν ἄλλων παθῶν ἔμπροσθεν εἴρηται, σύνθετα φάρμακα καὶ πολλάκις ἐκ τῶν ἐναντίων, ὁποῖόν ἐστι καὶ τὸ δι’ ἐλαίου τε καὶ χαλκίτεως. αὐτὸ μὲν γὰρ καθ’ αὑτὸ τοὔλαιον ἐναντιώτατόν ἐστι τῇ διαθέσει τῆς ἄφθης, ὥσπερ γε
12.1007 καὶ ἡ χαλκῖτις, ἐπειδὴ τὸ μὲν ὑγραίνει τε καὶ ῥυπαίνει, δάκνει δὲ σφοδρῶς ἡ χαλκῖτις. ἡ δὲ μίξις αὐτῶν ὅταν σύμμετρος γένηται, κάλλιστον ἀποτελεῖ φάρμακον. ὥσπερ οὖν ἐκ κηρωτῆς τε καὶ ἰοῦ σαρκωτικὸν ἐδείκνυτο γίνεσθαι φάρμακον, ἀμφοτέρων ἐναντίων ὑπαρχόντων σαρκώσει, κατὰ τὸν αὐτὸν λόγον ἐξ ἐλαίου τε καὶ χαλκίτεως ἐπιτήδειον γίνεται φάρμακον. εἰ δὲ εἰς σηπεδονῶδες τραπῇ, ἑλκώσεις τε ποιήσει, οὔτε ἄφθαν ἔτι προσήκει τὸ πάθος ὀνομάζειν, οὔτε τὰς τοιαύτας διαθέσεις ἰώμενα φάρμακα τοῖς πρὸς τὰς ἄφθας χρησίμοις ἐγκαταριθμεῖν, ὥσπερ οὐδὲ τοῖς ἐρυσιπέλατα ἰωμένοις τὰ διαφοροῦντα γενναίως, ὅσα διὰ τῆς τῶν ψυχόντων φαρμάκων προσαγωγῆς ἐγένετο πελιδνὰ καὶ σκληρὰ μόρια, μεταπεσόντα πρὸς σκληρώδη διάθεσιν ἐκ τῆς ἐρυσιπελατώδους. ἀμέλει καὶ τῷ ἀδιορίστῳ τῶν τοιούτων γραφῶν ἀπατώμενοί τινες ἐρυσιπέλασί τε τὰ θερμὰ καὶ διαφορητικὰ φάρμακα, ταῖς τε ἄφθαις τὰ πρὸς σηπεδόνας ἁρμόττοντα προσφέροντες οὐ μικρὰς ἐργάζονται τὰς βλάβας.

https://eulogikon.org/works/galen-pergamon-drugs-by-places-book-6-qmm-gt · eul_wid qmm-gt · Diogenes Lab reading page 851c6a8caa0d